Thukydidésnek egyik alapgondolata, hogy az emberi természet állandó. (A fogalom a kortárs filozófia és orvostudomány terminusa volt.) Az emberi természet háborús körülmények között világosabban mutatkozik meg a maga valóságában, mint akkor, amikor az élet a megszokott mederben folyik. Ha valaki az emberi természet megnyilvánulásait egyedi helyzetekben megfigyeli és pontosan leírja, akkor abból általános tanulságok adódnak. Ebben látja a ἱστορία hasznát Polybios is, de ő praktikusabb: munkáját kézikönyvnek szánta politikusok számára. Hogy a történetírás hasznos, Thukydidés óta közhely; a Polybios-idézet jól példázza a görög történetírás egy további jellegzetességét is: a történetíró előd bírálatát.

Τῆς ἱστορίας ἰδίωμα τοῦτ' ἐστὶ· τὸ πρῶτον μὲν αὐτοὺς τοὺς κατ' ἀλήθειαν εἰρημένους, οἵοί ποτ' ἂν ὦσι,[1] γνῶναι λόγους, δεύτερον τὴν αἰτίαν πυνθάνεσθαι, παρ' ἣν ἢ διέπεσεν ἢ κατωρθώθη τὸ πραχθὲν ἢ ῥηθέν· ἐπεὶ φιλῶς λεγόμενον αὐτὸ τὸ γεγονὸς ψυχαγωγεῖ μέν, ὠφελεῖ δ' οὐδέν· προστεθείσης δὲ τῆς αἰτίας ἔγκαρπος ἡ τῆς ἱστορίας γίνεται χρῆσις. ἐκ γὰρ τῶν ὁμοίων ἐπὶ τοὺς οἰκείους μεταφερομένων καιροὺς ἀφορμαὶ γίνονται καὶ προλήψεις εἰς τὸ προϊδέσθαι τὸ μέλλον, καὶ ποτὲ μὲν εὐλαβηθῆναι, ποτὲ δὲ μιμούμενον τὰ προγεγονότα θαρραλεώτερον ἐγχειρεῖν τοῖς ἐπιφερομένοις· ὁ δὲ καὶ τοὺς ῥηθέντας λόγους καὶ τὴν αἰτίαν παρασιωπῶν, ψευδῆ δ' ἀντὶ τούτων ἐπιχειρήματα καὶ διεξοδικοὺς λέγων λόγους, ἀναιρεῖ τὸ τῆς ἱστορίας ἴδιον· ὃ μάλιστα ποιεῖ Τίμαιος· καὶ διότι τούτου τοῦ γένους[2] ἐστὶ πλήρη τὰ βυβλία παρ' αὐτῷ[3], πάντες γινώσκομεν.

[1]οἵοί ποτ' ἂν ὦσι hogy milyenek voltak [2]effajta, ilyenféle [3]nála

ἡ **αἰτία**, ας ok
ἡ **ἀφορμή**, ῆς kiinduló pont
τὸ **γεγονός**, ότος esemény
τὸ **γένος**, ους nem, faj/ta
δεύτερον másodszor
διεξοδικός 3 kimerítő, terjengős
διότι hogy
ἔγκαρπος 2 gyümölcsöző
εἰρημένος 3 mondott, elhangzott
τὸ **ἐπιφερόμενον**, ου alkalom; feladat
τὸ **ἐπιχείρημα**, ατος támadás; érvelés
θαρραλεώτερον bátrabban
τὸ **ἴδιον**, ου sajátosság; „jellegzetesség"
τὸ **ἰδίωμα**, ατος sajátosság; „kötelesség"
ὁ **καιρός**, οῦ helyzet, körülmények
κατ' ἀλήθειαν való(já)ban
οἰκεῖος 3 házi; saját
πλήρης 2 megtelt, teli (amivel: gen.)
ποτὲ μέν ... ποτὲ δέ egyszer ... máskor
τὸ **πραχθέν**, έντος cselekedet
τὸ **προγεγονός**, ότος korábbi esemény
ἡ **πρόληψις**, εως elképzelés
ῥηθείς 3 kimondott, elhangzott
τὸ **ῥηθέν**, έντος szó; beszéd
ἡ **χρῆσις**, εως hasznosság, haszon
ψευδής 2 hazug, hamis
ψιλός 3 kopár, csupasz, puszta

I. Adja meg a szavak jelentését!
ἡ ὁδός – ἔξοδος, εἴσοδος, κάθοδος, μέθοδος, περίοδος, πρόσοδος, σύνοδος

II. Bontsa elemeire a szóösszetételt, és adja meg a magyar jelentését!

πολυάνθρωπος 2	πολυκέφαλος 2
πολύγλωττος 2	ἡ ὀλιγαρχία
πολύκαρπος 2	ἡ ὀλιγανθρωπία

III. Párosítsa a kifejezéseket!

(a) abban az időben	(1) κατ᾽ ἀρχάς
(b) (egész) éjjel	(2) πρότερον
(c) korábban	(3) μέχρι δείλης
(d) napkeltekor	(4) ἐκ παίδων
(e) délutánig/estig	(5) διὰ νυκτός
(f) gyermekkoruk óta	(6) ἅμ᾽ ἡλίῳ ἀνίσχοντι
(g) kezdetben	(7) κατ᾽ ἐκεῖνον τὸν χρόνον

IV. Fordítsa a kifejezéseket!
τῇ προτέρᾳ ἡμέρᾳ
ταύτης τῆς νυκτός
ἅμ᾽ ἡμέρᾳ
ταύτῃ τῇ ἡμέρᾳ
ἅμ᾽ ἦρι
χειμῶνος μέσου
ἐν τρισὶν ἡμέραις
ἐν τῷ παρόντι

V. Fordítsa görögre!
1. Ezután a lakedaimóniak hadvezére felszólította az athéniakat, hogy küldjenek követeket Spártába a béke ügyében; ők pedig engedelmeskedtek. 2. Valaki dobál valakit valamivel. 3. Senki nem dobál senkit semmivel. 4. Engedelmeskedni szoktatok az athéniaknak. 5. Az álom hasonló a halálhoz. 6. A görög sereg tíz napig maradt azon a vidéken, és a tengerparton lakó barbároktól szereztek pénzt. 7. Az apa hiába kereste a könyvét, amit a fia eldugott. 8. Hol van a pénz? 9. A száműzött élete nehéz. 10. *Szép szeme van.*

ὁ πατήρ	apa
ἡ γαστήρ	gyomor
ἡ μήτηρ	anya
ἡ θυγάτηρ	lánya
ὁ ἀνήρ	férfi, férj
ὁ θήρ	vadállat
ἡ χείρ	kéz
ὁ Μακρόχειρ	Hosszúkéz
ὁ μάρτυς	tanú
ὁ φώρ	tolvaj
ὁ ῥήτωρ	szónok
ὁ Ἕλλην	görög
ὁ βραχίων	kar
ὁ γείτων	szomszéd
ὁ ποιμήν	pásztor
ὁ δαίμων	daimón
ὁ ἡγεμών	vezető
ὁ χειμών	tél
ὁ χιτών	chitón
ὁ ἀγών	küzdelem
ὁ μήν	hónap
εὐδαίμων	boldog
βελτίων	jobb
κακίων	rosszabb
πλείων	több
μείζων	nagyobb

οἱ μετὰ Κύρου	K. kísérete
μετὰ τοῦτον	ezután
μετὰ ταῦτα	ezután
μετὰ τὸν θάνατον	a halál után
μετ᾽ ὀργῆς	haraggal
μετὰ τῶν δικαστῶν	a bírákkal
μετ᾽ ἐμοῦ	velem
παρὰ νόμον	törvénytelenül
παρὰ τοὺς ἄλλους	másoknál
παρὰ τοὺς Πέρσας	a perzsákhoz
παρὰ τοῦ βασιλέως	a királytól
παρ᾽ αὐτῶν	tőlük
παρὰ τοῦ θεοῦ	az istentől
τὰ παρ᾽ αὐτοῖς	szokásaik

32 ῾Ο ὀστρακισμός – A cserépszavazás

Az atthidográfusok athéni helytörténeteket, Atthisokat írtak. A lesbosi Hellanikos írta az első Atthist, amit Thukydidés is felhasznált, noha magát Hellanikost bírálta. A műfaj a negyedik századtól a harmadik század közepéig, Androtióntól Philochorosig virágzott. A terjedelmes munkák fő témája a város mythosba vesző múltja, a királyok és az előkelő családok genealogiájával; továbbá a kultuszok és a politikai intézmények ismertetése, valamint eredetük magyarázata. Az eseménytörténet, úgy tűnik, évről évre, pontosabban archónok szerint haladt az atthidográfus koráig. Az Atthisok alaphangját természetesen a hazaszeret és a hagyományokhoz való ragaszkodás, a patinás konzervativizmus adta meg. Csak töredékek maradtak ránk, mint például ez a cserépszavazásról szóló:

῾Ο δὲ ὀστρακισμὸς τοιοῦτος· προεχειροτόνει μὲν ὁ δῆμος πρὸ τῆς ὀγδόης πρυτανείας, εἰ δοκεῖ τὸ ὄστρακον εἰσφέρειν. ὅτε δ' ἐδόκει[1], ἐφράσσετο σανίσιν ἡ ἀγορά, καὶ κατελείποντο εἴσοδοι δέκα, δι' ὧν εἰσιόντες κατὰ φυλὰς ἐτίθεσαν τὰ ὄστρακα, στρέφοντες τὴν ἐπιγραφήν· ἐπεστάτουν δὲ οἵ τε ἐννέα ἄρχοντες καὶ ἡ βουλή. διαριθμηθέντων δὲ ὅτῳ[2] πλεῖστα γένοιτο καὶ μὴ ἐλάττω ἑξακισχιλίων, τοῦτον ἔδει τὰ δίκαια δόντα καὶ λαβόντα[3] ὑπὲρ τῶν ἰδίων συναλλαγμάτων ἐν δέκα ἡμέραις μεταστῆναι τῆς πόλεως ἔτη δέκα (ὕστερον δὲ ἐγένοντο πέντε), καρπούμενον τὰ ἑαυτοῦ, μὴ ἐπιβαίνοντα ἐντὸς Γεραιστοῦ τοῦ Εὐβοίας ἀκρωτηρίου. ῾Υπέρβολος ἐκ τῶν ἀδόξων ἐξωστρακίσθη διὰ μοχθηρίαν τρόπων, οὐ δι' ὑποψίαν τυραννίδος· μετὰ τοῦτον δὲ κατελύθη τὸ ἔθος, ἀρξάμενον νομοθετήσαντος Κλεισθένους, ὅτε τοὺς τυράννους κατέλυσεν, ὅπως συνεκβάλοι καὶ τοὺς φίλους αὐτῶν.

[1]úgy határoztak [2]< ὅστις [3]*(kb.)* adósságait rendezve és kintlévőségeit beszedve

ἄδοξος 2 rossz hírű
τὸ **ἀκρωτήριον**, ου fok, kiszögellés
ὁ **ἄρχων**, οντος archón
δέκα tíz
ὁ **δῆμος**, ου (köz)nép
τὸ **ἔθος**, ους szokás
ἡ **εἴσοδος**, ου bejárat
ἐλάττων 2 kevesebb (aminél: gen.)
ἐννέα kilenc
ἐντός (+ gen.) belül
ἑξακισχίλιοι 3 (αι, α) hatezer
ἡ **ἐπιγραφή**, ῆς *(a bekarcolt)* felirat
τὸ **ἔτος**, ους év
ἴδιος 3 saját
κατὰ φυλάς phylénként
μετὰ τοῦτον ezután
ἡ **μοχθηρία τρόπων** jellemhiba
ὄγδοος 3 nyolcadik
ὅτε amikor
ὁ **ὀστρακισμός**, οῦ cserépszavazás
τὸ **ὄστρακον**, ου cserépdarab
τὸ **ὄστρακον εἰσφέρειν** szavazni
πέντε öt
ἡ **πρυτανεία**, ας prytaneia *(a hivatali év 35/36 napos egysége)*
ἡ **σανίς**, ίδος korlát
τὰ ἑαυτοῦ „a vagyonát"
τὸ **συνάλλαγμα**, ατος ügy(let)
ὁ **τύραννος**, ου tyrannos
ἡ **ὑποψία**, ας gyanú
ὕστερον később
ἡ **φυλή**, ῆς törzs; (kleisthenési) phylé

– A félést kifejező igék után álló μή jelentése: hogy; a μὴ οὐκ jelentése: hogy nem. A mellékmondat coniunctivus vagy optativus módú állítmányát jövő idővel fordítjuk.

I. Tegye dativusba!
μικραὶ ἡδοναί
ὁ ἐν τῇ ἀγορᾷ στρατιώτης
οἱ πρὸ τῆ θαλάττῃ
πᾶσα ἡ Ἑλλάς
πᾶσα ἡ οἰκυμένη
ὁ δῆμος ἅπας
πᾶς ἀνήρ
πάντες οἱ πολῖται
ἅπαντες Ἀθηναῖοι
αἱ πράξεις ἅπασαι
πάντες οἱ τεθνεῶτες

II. Melyik elöljárószó illik a mondatba?
1. Ἄρξομαι δέ σοι (ἀπὸ – σὺν – ἀμφὶ) τῶν μικροτάτων παραδειγμάτων.
2. Ξέρξης (ἐπὶ – ἐκ – μετὰ) τῆς Ἑλλάδος ἡττηθεὶς τῇ μάχῃ ἀπεχώρει.
3. Κῦρος δ' ἐπεὶ εἰσήλασεν εἰς τὴν πόλιν, μετεπέμπετο τὸν Συέννεσιν (ἀμφὶ – πρὸς – ἀνὰ) ἑαυτόν.
4. Οἱ (σὺν – περὶ – εἰς) Λύσανδρον τριάκοντα οἱκαδε ἀπέπλεον.

III. Melyik a kakukktojás, és miért?
μέρους – τάφρους – κράνους – ἤθους

IV. Fordítsa görögre!
1. A katonák tábort vertek (ποιεῖν). 2. A katonák megmentették a hadvezért. 3. A legbátrabb katonát választották meg hadvezérnek. 4. A hírnök jelenti a hadvezérnek, hogy a katonák meghaltak. 5. A spártaiak, megtámadva az athéniakat, győzelmet arattak felettük. 6. *Ezek voltak itt a legboldogabb emberek.* 7. A katonák többsége meghalt, és a hadvezér is elesett. 8. A jó hadvezér bátran harcolva esik el. 9. A katonák egész nap harcoltak. 10. Az athéniak télen nem harcoltak. 11. *Mikor történt ez?*

τὸ μέγεθος	nagyság
τὸ πλῆθος	tömeg
τὸ ψεῦδος	hazugság
τὸ τεῖχος	fal
τὸ σκεῦος	felszerelés
τὸ εἶδος	forma
τὸ ψῦχος	hideg idő
τὸ μῖσος	gyűlölet
τὸ ἦθος	jellem
τὸ ἔθος	szokás
τὸ ἔτος	év
τὸ σκάφος	hajó
τὸ μέρος	rész
τὸ γένος	származás, faj
τὸ πάθος	szenvedés
τὸ ἄνθος	virág
τὸ κράνος	sisak
τὸ ὄρος	hegy(ség)
τὸ σκέλος	láb, comb
τὸ κέρδος	nyereség
τὸ τέλος	cél
τὸ ἴχνος	nyom
τὸ κράτος	erő
τὸ ξίφος	kard
τὸ ἔθνος	nép

μέχρι θανάτου	a halálig
μέχρι τοῦδε	eddig
ὁμοῦ τῷ χρυσίῳ	az aranypénzzel
περὶ Ποτείδαιαν	P. közelében
περὶ αὐτόν	maga körül
οἱ περὶ αὐτόν	a kísérete
λέγει περί τινος	beszél vkiről
περὶ τῶν πολεμίων	az ellenségről
ἀγὼν περὶ τῆς ψυχῆς	élet-halál harc
περὶ τῆς νίκης	a győzelemről
περὶ ἐμοῦ	rólam
πλησίον τοῦ βωμοῦ	az oltárhoz közel

33 Μακρότατος τῶν ἱστορημένων πολέμων – A leghosszabb háború

Aristotelés tanítványa, a phaléroni Démétrios tíz évig állt Athén élén, bukása után pedig Alexandriába ment, a makedón hadvezérből egyiptomi királlyá lett Ptolemaios udvarába. Itt a király tanácsadójaként bábáskodott a könyvtár megszervezése körül. A könyvtárban működő tudósok régi és új szaktudományok kézikönyveinek sorát állították össze. A történetírás is felhasználta például a kronológiát, hiszen ennek segítségével rendszerezték a korábbi anyagot. Csak ezután írhatta meg Diodóros a maga negyven könyvnyi világkrónikáját, amelynek már a címe is árulkodó: *Történeti könyvtár*. Az eseményeket Diodóros a mitikus időktől Caesarig tárgyalta. Kompilációjának több mint a fele elveszett, a megmaradt rész mégis fontos, mert forrásait legalább tartalmukban megőrizte.

Ἐπ᾽ ἄρχοντος δ᾽ Ἀθήνησι Πυθοδώρου Ῥωμαῖοι μὲν ὑπάτους κατέστησαν Τίτον Κοΐντιον καὶ Νίττον Μενήνιον, Ἠλεῖοι δ᾽ ἦγαγον ὀλυμπιάδα ἑβδόμην πρὸς ταῖς ὀγδοήκοντα, καθ᾽ ἣν ἐνίκα στάδιον Σώφρων Ἀμπρακιώτης. ἐπὶ δὲ τούτων ἐν τῇ Ῥώμῃ Σπόριος Μαίλιος ἐπιθέμενος τυραννίδι ἀνῃρέθη. Ἀθηναῖοι δὲ περὶ Ποτίδαιαν νενικηκότες ἐπιφανεῖ μάχῃ, Καλλίου τοῦ στρατηγοῦ πεσόντος ἐν τῇ παρατάξει, στρατηγὸν ἕτερον ἐξέπεμψαν Φορμίωνα. οὗτος δὲ παραλαβὼν τὸ στρατόπεδον καὶ προσκαθήμενος τῇ πόλει τῶν Ποτιδαιατῶν συνεχεῖς προσβολὰς ἐποιεῖτο· ἀμυνομένων δὲ τῶν ἔνδον εὐρώστως ἐγένετο πολυχρόνιος πολιορκία. Θουκυδίδης δὲ ὁ Ἀθηναῖος τὴν ἱστορίαν ἐντεῦθεν ἀρξάμενος ἔγραφε τὸν γενόμενον πόλεμον Ἀθηναίοις πρὸς Λακεδαιμονίους τὸν ὀνομασθέντα Πελοποννησιακόν. οὗτος μὲν οὖν ὁ πόλεμος διέμεινεν ἐπὶ ἔτη εἴκοσι ἑπτά, ὁ δὲ Θουκυδίδης ἔτη δύο πρὸς τοῖς εἴκοσι γέγραφεν ἐν βίβλοις ὀκτώ, ὡς δέ τινες διαιροῦσιν, ἐννέα.

Ἀθήνησι(ν) Athénban
Ἀμπρακιώτης, ου ambrakiabeli
ἡ **βίβλος**, ου könyv
δύο πρὸς τοῖς εἴκοσι huszonkettő
εἴκοσι ἑπτά huszonhét
ἔνδον belül, bent
ἐντεῦθεν innen; onnan
ἐπὶ τούτων ezalatt
εὔρωστος 2 erős
οἱ **Ἠλεῖοι**, ων az élisiek
ἱστορημένος 3 megörökített
ὁ **Καλλίας**, ου Kallias
κατά (+ acc.) -on, -en, -ön
μακρότατος 3 leghosszabb
νενικηκώς 3 győztes
ὀκτώ nyolc
ἡ **ὀλυμπιάς**, άδος olympiai játékok
ὀνομασθείς 3 (el)nevezett
Πελοποννησιακός 3 peloponnésosi
πολυχρόνιος 2 tartós, elhúzódó
ἡ **Ποτίδαια**, ας Pot(e)idaia
ὁ **Ποτιδαιάτης**, ου pot(e)idaiai
ἡ **προσβολή**, ῆς támadás
ἡ **Ῥώμη**, ης Róma
Ῥωμαῖος 3 római
τὸ **στάδιον**, ου stadion(futás)
τὸ **στρατόπεδον**, ου hadsereg; tábor
ὡς δέ **τινες** ahogy némelyek
ἡ **τυραννίς**, ίδος tyrannis *(törvénytelen uralom)*
ὁ **ὕπατος**, ου consul
ὁ **Φορμίων**, ωνος Phormión

– A gondoskodást, óvakodást kifejező igék után ὅπως (= hogy) vagy ὅπως μὴ (= hogy ne) kötőszó áll; a mellékmondat állítmánya jövő idejű.

I. Illesszen a mondatba participiumot a minta szerint!
Συμβουλεύω ὑμῖν καίπερ νεώτερος (εἰμί). : ὤν
1. Οἱ στρατιῶται (διώκουσιν) οὐδένα τῶν πολεμίων ἐζώγρησαν. 2. Ὁ στρατηγὸς ταῦτα (εἶπεν) ἀπῆλθεν. 3. Ὁ στρατιώτης (ἀπέρχεται) εἶπεν ταῦτα πρὸς τοὺς ἄλλους. 4. Οἱ στρατιῶται ἐμάχοντο ἅμα (ἐπορεύοντο) 5. Ὁ βασιλεὺς ἐπὶ τὴν Ἑλλάδα ἦλθεν ὡς (δουλώσει).

II. Melyik szó illik a mondatba?
1. Ἦν δὲ τοῖς μὲν ὀφθαλμοῖς ἐπικούρημα τῆς χιόνος, εἴ τις μέλαν τι (ἔχων – ἔχον – ἐχόντων) πρὸ τῶν ὀφθαλμῶν ἐπορεύετο.
2. Ἐμοὶ οὖν δοκεῖ οὐχ ὥρα εἶναι ἡμῖν καθεύδειν οὐδ' ἀμελεῖν ἡμῶν αὐτῶν (οὐδὲ – ἀλλὰ – μηδὲ) βουλεύεσθαι, ὅ τι χρῆ ποιεῖν ἐκ τούτων.
3. Οἱ κακοὶ οἰκονόμοι ἀναλίσκουσιν οὐκ εἰς ἃ δεῖ μόνον, (ἀλλ' ὅμως – ἀλλὰ καὶ – μέντοι) εἰς ἃ βλάβην φέρει αὐτῷ καὶ τῷ οἴκῳ.
4. Ἅμα δὲ τῇ ἡμέρᾳ συνελθόντες οἱ στρατηγοὶ ἐθαύμαζον, (ὅτι – ὅτε – ὅταν) Κῦρος οὔτε ἄλλον πέμπει (σημαίνοντα – σημανοῦντα – σημήναντα), ὅ τι χρὴ ποιεῖν, οὔτε αὐτὸς φαίνοιτο.
5. Ὑμεῖς δὲ μᾶλλον πιστεύετε τοῖς ὑμετέροις αὐτῶν ὀφθαλμοῖς (ᾗ – ἢ – ἡ) τοῖς τούτου λόγοις.

III. Fordítsa görögre!
1. *Elfeledtem, hol születtem.* 2. *A háború után férjhez ment* (γαμέομαι) *a lányom.* 3. Ugyanaz a hadvezér győzte le őket. 4. Maga a hadvezér mondta, hogy ez a katona bátor. 5. Az athéni hadvezér katonái bátrabbak nálunk. 6. Nem te vagy az athéniak hadvezére, hanem ő. 7. A mi katonáink bátrak, a tieitek pedig gyávák. 8. Ez a hadvezér már nem a mi hadvezérünk. 9. Amilyen a hadvezér, olyanok a katonái. 10. *Mindenki tudja, hogy kicsodák.*

εὐήθης	becsületes, ostoba
συνήθης	(meg)szokott
δυσώδης	rossz szagú, büdös
πλήρης	teli
ἐνδεής	nélkülöző
ἐγκρατής	erős
ἀφανής	nem látható
ἀφυής	alkalmatlan
ἀκριβής	pontos
ἀτερπής	kellemetlen
ἀσφαλής	biztonságos
ἀληθής	igaz
ἀσθενής	erőtlen
εὐπρεπής	szép külsejű
εὐειδής	jó alakú
εὐγενής	nemes származású
εὐτυχής	szerencsés
δυστυχής	szerencsétlen
ἐπιφανής	feltűnő
ἐπιεικής	jószívű
εὐτελής	egyszerű
πολυτελής	fényűző
ψευδής	hamis
σαφής	világos
συνεχής	folyamatos

πρὸ θυρῶν	a kapu(k) előtt
πρὸ τῶν σκηνῶν	a sátrak előtt
πρὸ τοῦ πολεμοῦ	a háború előtt
πρὸ τῆς μάχης	csata előtt
πρὸ πατρίδος	a hazáért
πρὸ τῆς πόλεως	a város előtt
πρὸς τὴν νῆσον	a sziget felé
πρὸς ἀλλήλους	egymáshoz
πρὸς αὐτόν	hozzá
πρὸς τῷ ποταμῷ	a folyónál
πρὸς ἀλλήλους	egymás ellen
πρὸς τούτοις	ezenkívül

34 Κτῆμα ἐς αἰεὶ ξύγκειται – Örök időkre szóló értéknek írtam

Kétségtelen, hogy az athéni Thukydidés a legnagyobb történetírók egyike. A peloponnésosi háború történetét írta meg, amelyben Athén a Spárta vezette szövetséggel küzdött meg a Hellas fölötti hatalomért, és alulmaradt. A háborúban maga is részt vett, de egy kudarc után száműzték, és így kellő rálátással figyelhette a küzdelmet thrákiai birtokáról. A munkába, mint mondja, a háború kitörésekor kezdett bele, az eseményeket évek szerint adva elő. Mint a kortörténeti monográfiában mindig, művében sok beszéd van. Az egységes stílusú beszédek Thukydidés alkotásai, s többnyire beszédpárokat alkotnak, amelyek az ellentétes véleményeket összegezik egy-egy politikai vitában. Ily módon kerülte el Thukydidés az egy nézőpontú elbeszélés buktatóit: a szofisták tanítványa volt.

Θουκυδίδης ᾿Αθηναῖος ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ ᾿Αθηναίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς καθισταμένου[1] καὶ ἐλπίσας μέγαν τε ἔσεσθαι[2] καὶ ἀξιολογώτατον τῶν προγεγενημένων, τεκμαιρόμενος ὅτι ἀκμάζοντές τε ἦσαν ἐς αὐτὸν ἀμφότεροι παρασκευῇ τῇ πάσῃ καὶ τὸ ἄλλο ῾Ελληνικὸν ὁρῶν ξυνιστάμενον πρὸς ἑκατέρους, τὸ μὲν εὐθύς, τὸ δὲ καὶ διανοούμενον. κίνησις γὰρ αὕτη μεγίστη δὴ τοῖς ῞Ελλησιν ἐγένετο καὶ μέρει τινὶ τῶν βαρβάρων, ὡς δὲ εἰπεῖν καὶ[3] ἐπὶ πλεῖστον ἀνθρώπων. τὰ γὰρ πρὸ αὐτῶν καὶ τὰ ἔτι παλαίτερα σαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατα ἦν, ἐκ δὲ τεκμηρίων ὧν ἐπὶ μακρότατον σκοποῦντί μοι πιστεῦσαι ξυμβαίνει οὐ μεγάλα νομίζω γενέσθαι οὔτε κατὰ τοὺς πολέμους οὔτε ἐς τὰ ἄλλα.

[1]sc. πολέμου [2]a létige fut. infinitivusa [3]sőt

ἀδύνατος 2 nem lehetséges
ἀμφότερος 3 mindkettő *(együtt)*
ἀξιόλογος 2 feljegyzésre méltó
ἑκάτερος 3 mindkettő *(de külön)*
πρὸς **ἑκατέρους** ehhez vagy ahhoz
τὸ **῾Ελληνικόν**, οῦ a görögség
τὸ ἄλλο **῾Ελληνικόν** a többi görög
ἐπὶ μακρότατον a legmesszebbre (vissza)
ἐς αὐτόν abba (ti. a háborúba)
ἐς τὰ ἄλλα a többi dologban
εὐθύς mindjárt
κατὰ τοὺς πολέμους a háborúkat illetően
ἡ **κίνησις**, εως megrendítés; nyugtalanság
μέρει τινὶ egy részének
παλαίτερος 3 régebbi
ἡ **παρασκευή**, ῆς előkészület
οἱ **Πελοποννήσιοι**, ων a peloponnésosiak
προγεγενημένος 3 előző, korábbi
πρὸς ἀλλήλους egymás ellen
σαφῶς világosan
τὰ ἔτι παλαίτερα a még régebbi dolgok
τὰ πρὸ αὐτῶν az ezeket megelőző dolgok
ὡς εἰπεῖν úgyszólván
ὡς hogyan

– Alárendelt mellékmondatok helyett gyakran állnak melléknévi igenevek különböző „kötőszókkal". Ezeket az igeneveket mellékmondattal fordítjuk. Participiummokkal álló „kötőszavak": ὡς (hogy; *célhat.*); ἅτε (= mivel); ὡς (= abban a hiszemben); καίπερ (noha); ὥσπερ (mintha). Állhat participium a feltételes mondat előtagja helyett is.

I. Pótolja a kiesett magánhangzót! ὅτ’ = ὅτε
δ’ .... , τ’ .... , πάντ’(...) ἄνδρα , παρ’ .... , γ’ .... , κατ’ .... , ἀλλ’ .... , καθ’ .... , ἵν’ .... , ὑπ’ .... , ἐπ’ ...., μήθ’ .... , ἄρ’ ... , ὑφ’ .... , ὥστ’ .... , ἀνθ’ .... , μήτ’ .... , μετ’ ....

II. Fordítsa magyarra!
ἥκω ὡς ὑμᾶς :
ὁ ποταμὸς διὰ μέσης τῆς πόλεως ῥεῖ :
τί μοι ἀντὶ τούτων δώσεις; :
παρὰ τοῖς Ἀθηναίοις νόμος ἦν :
ὁ μῦς μικρός ἐστι πρὸς τὸν κύνα :
μετὰ ταῦτα :
πρὸ τῆς μάχης καὶ μετ’ αὐτήν :
ἀνὰ πᾶσαν τὴν ἡμέραν :
Δημοσθένους κατὰ Φιλίππου λόγοι :

III. Melyik szó illik a mondatba?
1. Ἐπεὶ δὲ φῶς ἐγένετο, (ἄγε – ἦγεν – ἤγαγον) ἕκαστος ὁ στρατηγὸς τὸν αὑτοῦ λόχον ἐπὶ κώμην.
2. Κῦρος τὸν παράδεισον (ἐκκόπτει – ἐξέκοπτεν – ἐξέκοψεν) καὶ τὰ βασίλεια κατέκαυσεν.
3. Ὁ δὲ Κλέαρχος καταφεύγει εἰς τὸ ἑαυτοῦ στράτευμα, καὶ εὐθὺς (παραγγέλλει – παρήγγελλε – παρήγγειλε) εἰς τὰ ὅπλα.
4. Τὸν μὲν ἀμφὶ τὸν χειμῶνα χρόνον ὁ Κῦρος (διάγει – διῆγεν – διήγαγεν) ἐν Βαβυλῶνι ἑπτὰ μῆνας· τὸν δὲ ἀμφὶ τὸ ἔαρ τρεῖς μῆνας ἐν Σούσοις.
5. Καὶ ταύτῃ τῇ ἡμέρᾳ ἀφικνεῖται ὁ στρατηγὸς χρήματα (διδούς – δώσων – δούς) τῷ στρατεύματι.

IV. Fordítsa görögre!
1. Ki jön itt? 2. Hová (ποῖ) mégy? 3. Mit kell most csinálni? 4. Mit lehet tenni ilyen körülmények között? 5. Miféle küzdelemre készülődnek a szónokok? 6. Hová megy a hadvezér? 7. Ki mondta ezt? 8. Miért mondta ezt a hadvezér? 9. Hány katona volt jelen (παρεῖναι)? 10. Honnan (πόθεν) jöttél? 11. Odaadtad a zsoldot a katonáknak?

ἡ οἴκησις	lakás
ἡ γένεσις	születés
ἡ δύναμις	képesség
ἡ πρόδοσις	előleg
ἡ ὑπόθεσις	feltevés
ἡ πρόληψις	elképzelés
ἡ δήλωσις	megvilágítás
ἡ παράταξις	mellérendezés
ἡ ἔμφασις	bemutatás
ἡ κίνησις	mozdítás
ἡ σίτησις	étkezés
ἡ αἴσθησις	érzékelés
ἡ βούλησις	kívánság
ἡ τίμησις	kárpótlás
ἡ διόρθωσις	javítás
ἡ μάθησις	tanítás
ἡ διάβασις	átkelés
ἡ πρόκλησις	felszólítás
ἡ κτῆσις	birtoklás
ἡ πρᾶξις	tevés, tett
ἡ χρῆσις	haszon
ἡ τάξις	hadrend
ἡ φύσις	természet
ἡ ὄψις	látás
ἡ πόσις	korty

οἱ σὺν αὐτῷ	a vele lévők
σὺν πόνῳ	fáradsággal
σὺν γέλωτι	nevetve
ὑπὲρ δύναμιν	erőn felül
ὑπὲρ τῶν φίλων	a barátokért
ὑπέρ σου	érted, miattad
ὑπὸ τὸ σπήλαιον	a barlangba
ὑπὸ φόβων	a félelem által
ὑπὸ θεῶν	az istenek által
οἱ ὑφ’ αὐτῷ	az alárendeltjei
ὑφ’ ὑμῶν	általatok
ὑφ’ οὗ	aki által
ὡς βασιλέα	a királyhoz
ὡς ὑμᾶς	hozzátok
ὡς ἑαυτόν	magához

35 Οὐδεὶς ὅστις οὐχ ἱστορίαν συγγράφει – Történetírók mindenütt

Jól mondta Hérakleitos, hogy a háború mindenek atyja, hisz a mostani háború óta is lám, hogy elszaporodtak a történetírók: mindenütt Thukydidésekbe, Hérodotosokba és Xenophónokba botlik az ember. Csakhogy ezek a mostaniak nem tudják, *hogyan kell történelmet írni* — állapítja meg Lukianos, és úgy dönt, segít. A jó tanácsnak, mondja, két feladata van: megmondja, mit tegyél, és mit kerülj. Ezután kíméletlenül mutatja be kortársain mindazt, amit kerülni kell. Ezek a rossz történetírók ugyanis, mondja, tehetségtelen utánzók: nem azt utánozzák, amit kell. (Utánzáson itt az elődökkel való versengést és a példakép utánzását kell érteni, nem pedig a valóságét.) A csúfolódás után szavához híven tanácsokat is ad, mégpedig olyanokat, amelyeket a példaképek tanulmányozásából szűrt le.

Ἕτερος δὲ Θουκυδίδου ζηλωτὴς ἄκρος, οἷος εὖ μάλα τῷ ἀρχετύπῳ εἰκασμένος, καὶ τὴν ἀρχὴν ὡς ἐκεῖνος σὺν τῷ ἑαυτοῦ ὀνόματι ἤρξατο, χαριεστάτην ἀρχῶν ἁπασῶν καὶ θύμου τοῦ Ἀττικοῦ ἀποπνέουσαν. ὅρα γάρ· «Κρεπέρηος Καλπουρνιανὸς Πομπηϊουπολίτης συνέγραφε τὸν πόλεμον τῶν Παρθυαίων[1] καὶ Ῥωμαίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους, ἀρξάμενος εὐθὺς συνισταμένου.» ὥστε μετά γε τοιαύτην ἀρχὴν τί ἄν σοι τὰ λοιπὰ[2] λέγοιμι – ὁποῖα ἐν Ἀρμενίᾳ ἐδημηγόρησεν τὸν Κερκυραῖον αὐτὸν ῥήτορα παραστησάμενος[3], ἢ οἷον Νισιβηνοῖς[4] λοιμὸν τοῖς μὴ τὰ Ῥωμαίων αἱρουμένοις ἐπήγαγεν παρὰ Θουκυδίδου χρησάμενος ὅλον ἄρδην πλὴν μόνου τοῦ Πελασγικοῦ καὶ τῶν τειχῶν τῶν μακρῶν, ἐν οἷς οἱ τότε λοιμώξαντες ᾤκησαν; τὰ δ' ἄλλα καὶ ἀπὸ Αἰθιοπίας ἤρξατο, ὡς τότε, καὶ ἐς Αἴγυπτον κατέβη καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλήν[5], καὶ ἐν ἐκείνῃ γε ἔμεινεν εὖ ποιῶν. ἐγὼ γοῦν θάπτοντα ἔτι αὐτὸν καταλιπὼν τοὺς ἀθλίους Ἀθηναίους ἐν Νισίβι ἀπῆλθον ἀκριβῶς εἰδὼς καὶ ὅσα ἀπελθόντος[6] ἐρεῖν ἔμελλεν.

[1]οἱ Παρθυαῖοι párthusok [2]a többit [3]színre léptetve [4]Νισιβηνός Nisibis lakosa [5]a perzsa király birodalmának nagy részére [6]sc. ἐμοῦ

ἄθλιος 3 szerencsétlen
ἀκριβῶς εἰδώς pontosan tudva
ἄκρος 3 szélsőséges
ἄρδην egészen, teljesen
τὸ **ἀρχέτυπον**, ου az eredeti
ἡ **γῆ**, γῆς föld; ország
ἐγὼ **γοῦν** én bizony
τὸ **θύμον**, ου kakukkfű(vel és mézzel kevert ital, az attikai szegények csemegéje)
εἰκασμένος 3 hasonló (+ dat.)
εὖ μάλα teljesen
ὁ **ζηλωτής**, οῦ utánzó
ὁ **λοιμός**, οῦ járvány
οἷος 3 milyen
ὁποῖος 3 milyen
ὅρα γάρ figyeld csak
παρά (+ gen.) -tól, -től
Πελασγικός 3 pelazg
τὸ **Πελασγικόν** az Akropolis falai
πλήν (+ gen.) kivéve
τὰ ἄλλα egyébként
τὰ Ῥωμαίων a rómaiak ügye
τὸ **τεῖχος**, ους fal
τὰ μακρὰ **τείχη** *(Athént a kikötővel összekötő)* hosszú falak
τί ἂν λέγοιμι miért mondanám el
τότε akkor
οἱ **τότε** az akkori (emberek)
χαριέστατος 3 legbájosabb
ὥστε „no mármost”

I. Melyik a kakukktojás, és miért?
λοιπόν – ἀγγεῖλαν – ἐλπίσαν – βαλόν

II. Párosítsa a megadott szavakat a magyar jelentésükkel!

(a) földrajz	(1) μισογύνης
(b) dárdavivő	(2) σύνδουλος
(c) rabszolgatárs	(3) προδότης
(d) gyermekvezető; nevelő	(4) δορυφόρος
(e) tengeri csata	(5) αὐτόγραφος
(f) nőgyűlölő	(6) παιδαγωγός
(g) saját kezűleg írott	(7) νομοθέτης
(h) áruló	(8) γεωγραφία
(i) törvényhozó	(9) ναυμαχία

III. Fordítsa le többféleképpen a szerkezeteket!
1. ἀποθανόντος τοῦ βασιλέως
2. ἀποροῦντος τοῦ στρατηγοῦ
3. τούτων ἀγγελθέντων
4. τοῦ στρατεύματος νενικημένου
5. πείθοντος τοῦ Θεμιστοκλέους
6. στρατηγοῦντος τοῦ Κίμωνος
7. τοῦ ἐπιγενομένου χειμῶνος

IV. Fordítsa görögre!
1. Nem tudom, mikor halt meg a hadvezér. 2. Nem tudom, vajon ezek a katonák spártaiak vagy athéniak (πότερον – ἤ). 3. Úgy tűnt, egy katona sem tudja, hol a hadvezér. 4. A hadvezér tudja, hogy a katonái bátrak. 5. Elmondta neked, hogy milyen úton jöttek? 6. A katonák megkérdezték, vajon kapnak zsoldot, vagy nem. 7. A hírnök azt mondta, nem tudja, hol van a hadvezér. 8. A követek jelentették a királynak, miért jöttek. 9. Azt mondta, hogy még nem hallotta őt énekelni.

ἡδύς 3	kellemes
θρασύς 3	vakmerő
βαρύς 3	nehéz
γλυκύς 3	édes
δασύς 3	szőrös
βραχύς 3	rövid
ὁ/ἡ σῦς	disznó
ὁ ἰχθύς	hal
ἡ πίτυς	fenyő
ἡ ἰσχύς	erő
ἡ ὀφρύς	szemöldök
τὸ ἄστυ	város
ὁ πῆχυς	könyök
ὁ βασιλεύς	király
ὁ ἱερεύς	pap
ὁ γονεύς	szülő
ὁ ἱππεύς	lovas
ὁ γραφεύς	írnok
ὁ συγγραφεύς	történetíró
ὁ γραμματεύς	jegyző
ὁ ἑρμηνεύς	tolmács
ὁ φαρμακεύς	méregkeverő
ὁ φονεύς	gyilkos
ὁ νομεύς	pásztor
ὁ γναφεύς	ványoló

ἀμφὶ ἀγορὰν πλήθουσαν
ἀνὰ πᾶσαν τὴν ἡμέραν
ἀνὰ πᾶσαν τὴν Αἴγυπτον
ὀδόντα ἀντὶ ὀδόντος
ἀντὶ πολέμου εἰρήνη
ἀπὸ τούτου τοῦ χρόνου
ἀπ' ἐκείνης τῆς ἡμέρας
δι' εἰσόδων
εἰς γυναῖκας ἐμπίπτει
εἰς τοὺς δισχιλίους
ἔμπροσθεν τοῦ βουλευτηρίου
ἐν (ταῖς) σπονδαῖς
ἐν δέκα ἡμέραις

36 Μετὰ δὲ ταῦτα – Ezt követően

Xenophón Thukydidés utolsó mondatához kapcsolta *Görög történetét*, a *Hellénikát*. Thukydidés műve ugyanis a háború huszadik évében megszakad, noha a műből kiderül, hogy Thukydidés megérte a Spártával kötött megalázó békét, és megértette, hogy a vereség az athéni birodalom végét jelenti. Idővel azonban a korábban lényegesnek tűnő dolgok mellékessé, a mellékeseknek látszók pedig jelentősekké váltak, ezért valószínű, hogy átírta a korábban megírt részeket. Nem Xenophón volt az egyetlen, aki Thukydidés nyomába lépett, hiszen Theopompos *Hellénikáj*a is az ő művét folytatta, és papíruszon előkerültek egy harmadik folytató töredékei is. A történetíró elől munkájának folytatása, a folyamatos történetre való törekvés a görög történetírás egyik sajátossága.

Μετὰ δὲ ταῦτα οὐ πολλαῖς ἡμέραις ὕστερον ἦλθεν ἐξ Ἀθηνῶν Θυμοχάρης ἔχων ναῦς ὀλίγας· καὶ εὐθὺς ἐναυμάχησαν αὖθις Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι, ἐνίκησαν δὲ Λακεδαιμόνιοι ἡγουμένου Ἀγησανδρίδου. μετ᾽ ὀλίγον δὲ τούτων Δωριεὺς ὁ Διαγόρου ἐκ Ῥόδου εἰς Ἑλλήσποντον εἰσέπλει ἀρχομένου χειμῶνος τέτταρσι καὶ δέκα ναυσὶν ἅμα ἡμέρᾳ. κατιδὼν δὲ ὁ τῶν Ἀθηναίων ἡμεροσκόπος ἐσήμηνε τοῖς στρατηγοῖς. οἱ δὲ ἀνηγάγοντο ἐπ᾽ αὐτὸν εἴκοσι ναυσίν, ἃς ὁ Δωριεὺς φυγὼν πρὸς τὴν γῆν ἀνεβίβαζε τὰς αὑτοῦ τριήρεις, ὡς ἤνοιγε, περὶ τὸ Ῥοίτειον. ἐγγὺς δὲ γενομένων τῶν Ἀθηναίων ἐμάχοντο ἀπό τε τῶν νεῶν καὶ τῆς γῆς μέχρι οἱ Ἀθηναῖοι ἀπέπλευσαν εἰς Μάδυτον πρὸς τὸ ἄλλο στρατόπεδον οὐδὲν πράξαντες. Μίνδαρος δὲ κατιδὼν τὴν μάχην ἐν Ἰλίῳ θύων τῇ Ἀθηνᾷ, ἐβοήθει ἐπὶ τὴν θάλατταν, καὶ καθελκύσας τὰς ἑαυτοῦ τριήρεις ἀπέπλει, ὅπως ἀναλάβοι τὰς μετὰ Δωριέως.

ἅμα ἡμέρᾳ kora reggel
ἀπὸ τῶν νεῶν a hajókról
ἀπὸ τῆς γῆς a partról
αὖθις ismét
ἐγγύς közel, közelbe(n)
εἰς Ἑλλήσποντον a Hellespontos felé
ἐκ Ῥόδου Rhodosról
ἐν Ἰλίῳ Ilionban *(=Trójában)*
ἐπ᾽ αὐτόν ellene
ἐπὶ τὴν θάλατταν a tenger felé
ὁ **ἡμεροσκόπος**, ου nappali őrszem
μετὰ ταῦτα ezután
μετ᾽ ὀλίγον τούτων kevéssel ezután
μετὰ Δωριέως Dórieusszal
αἱ **μετὰ Δωριέως** Dórieus triérései
μέχρι amíg
ἡ **ναῦς**, νεώς hajó
ὀλίγος 3 kevés
ὅπως hogy
περί (+ acc.) körül, közelében
πρὸς τὴν γῆν a szárazföld felé
Ῥοίτειον, ου *(település Trója közelében)*
τέτταρσι καὶ δέκα ναυσίν 14 hajóval
ἡ **τριήρης**, ους triérés *(hadihajó)*
ὁ **χειμών**, ῶνος viharos idő; tél

– A „katonákat”, „hajókat” és hasonlókat jelentő szavak mellett álló ἄγων, ἔχων, φέρων participiumok fordíthatók így is: -val/-vel (katonákkal, hajókkal stb.).

I. Képezze az igealakokat!
λείπω ao. ind. A. pl. 2. :
στέλλω ao. coni. M. sg. 2. :
δίδωμι praet. ipf. ind. A. pl. 3. :
παιδεύω ao. ind. P. pl. 2. :
εἰμί (lenni) pr. ipf. pl. 2. :

II. Mondja görögül!
Sókratés és a pásztorok ellen :
a király városairól :
apám anyjának a lányát :
Korinthos polgárainak disznai :
a Múzsák ajándékai :

III. Melyik szó illik a mondatba?
1. Ὁ δ᾽ Ἀγησίλαος (μετὰ – διὰ – ἀντὶ) τοῦ ἐπὶ Καρίαν ἰέναι εὐθὺς τἀναντία ἀποστρέψας ἐπὶ Φρυγίας ἐπορεύετο.
2. Οἱ Ἀθηναῖοι Φοίνιξι καὶ Κίλιξιν ἐναυμάχησαν καὶ ἐπεζομάχησαν ἅμα, καὶ νικήσαντες ἀμφότερα ἀπεχώρησαν (εἰς –ἐπ᾽ – ἐν) οἶκου.
3. Ὁπόσοι τῶν (κατὰ – ἀμφὶ – ὑπὲρ) βασιλέα ἀπέθνῃσκον ἐν τῇ μάχῃ, Κτησίας λέγει· παρ᾽ ἐκείνῳ γὰρ ἦν.
4. Ἔρχονται παρὰ (βασιλέα – βασιλέως – βασιλεῖ) καὶ Τισσαφέρνους κήρυκες.
5. Ἡμεῖς γὰρ οἱ Ἀθηναῖοι ἤλθομεν εἰς τὸν πόλεμον τὸν (ἀντὶ – εἰς – πρὸς) Λακεδαιμονίους καὶ τοὺς συμμάχους ἔχοντες τριήρεις τὰς μὲν ἐν θαλάττῃ τὰς δ᾽ ἐν τοῖς νεωρίοις οὐκ (ἐλάττονες – ἐλάττους – ἐλαττόνων) τριακοσίων.

ἡ κλείς	retesz
ἡ γραῦς	szipirtyó
ὁ βοῦς	ökör
ἡ ναῦς	hajó
ἡ χείρ	kéz
τὸ δόρυ	dárda
ἡ θρίξ	hajszál
τὸ ὄναρ	álom
τὸ γόνυ	térd
ἡ γυνή	asszony
ὁ Ζεύς	Zeus
ὁ ἡ κύων	kutya
τὸ πῦρ	tűz
ἡ οἶς	juh
ἡ Ἰώ	Ió

IV. Fordítsa görögre!
1. *Mit tud az öregúr?* (γερόντιον) *Sokat, de nem azt, amit mi.* 2. Azt mondják, hogy a katonák három nappal később érkeztek meg. 3. *Ma azt írtam haza, hogy egészséges vagyok* (ὑγιαίνω). 4. *Mi is szerettük és szeretjük a könyveket – mondja –, de figyelmünket most már az élet és a lélek felé fordítjuk* (τὸν νοῦν προσέχω). *Időnk kevés, és ma nem olvashatunk annyit, amennyit óhajtanánk.* 5. *Mit lehet itt tenni?* 6. *Most nyár van.* 7. *Olvasta őt, és szereti.* 8. *Megérkeztem a zárt* (κατακεκλεισμένος 3) *kapu elé.* 9. *Miért mosolyogsz?* (μειδιάω) 10. *A tanár boldogan* (ἅσμενος 3) *mosolyog.* 11. *Nem tudják, hogy ki vagyok, és milyen nyelvet hallanak.*

ἀναβὰς ἐφ᾽ ἵππον
ἐκ πολλῶν τόπων
ἐπὶ τῶν τριάκοντα
ἐπὶ τοῖς δρυφάκτοις
καθ᾽ ἑκάστην ἡμέραν
κατὰ τοὺς Ἡρακλείδας
μετὰ κινδύνων
ἡ αἰτία, παρ᾽ ἥν
περὶ τῆς εἰρήνης
πρὸς θάνατον
πρὸς τοὺς Ἀθηναίους
ὑπὲρ συναλλαγμάτων
οἱ ὑπὸ τοῖς Ἀθηναίοις
ὑπὸ δαιμόνων
ὑπὸ τοῦ ὄρνιθος

37 Τὸ διαψηφίζεσθαι – A bírósági szavazás

Aristotelés szellemi műhelyének terméke *Az athéni állam*. Ez az alkotmányleírás aprólékosan ismerteti az athéni bíróságok működését. Ezekből teljességgel hiányoztak a jogászok, így közvádat is csak magánember emelhetett. Az esküdtbíróságokat a per napján sorsolták a héliastések közül, akik a 30 évnél idősebb polgárokból évente kisorsolt bírák voltak. A bírák száma a vád jellegétől függött, s a perben mindkét fél önmagát képviselte. Jogi tanácsot a logographos adhatott (ha valaki igényelte és megfizette), de ő elsősorban hivatásos beszédíró volt. A megrendelt pörbeszédet az ügyfél megtanulta, és maga adta elő. Az ügyek jelentős része közvádon alapuló politikai per volt. A siker, sokszor élet vagy halál a meggyőző erőn múlt, hisz a szavazókorongokat jogilag képzetlenek tartották kezükben.

Εἰσὶ δὲ ἀμφορεῖς δύο κείμενοι ἐν τῷ δικαστηρίῳ, ὁ μὲν χαλκοῦς, ὁ δὲ ξύλινος, διαιρετοὶ ὅπως μὴ λάθῃ ὑποβάλλων[1] τις ψήφους, εἰς οὓς ψηφίζονται οἱ δικασταί, ὁ μὲν χαλκοῦς κύριος, ὁ δὲ ξύλινος ἄκυρος, ἔχων ὁ χαλκοῦς ἐπίθημα διερρινημένον, ὥστ᾽ αὐτὴν μόνην χωρεῖν τὴν ψῆφον[2], ἵνα μὴ δύο ὁ αὐτὸς ἐμβάλλῃ. ἐπειδὰν δὲ διαψηφίζεσθαι μέλλωσιν οἱ δικασταί, ὁ κῆρυξ[3] ἀγορεύει πρῶτον, ἂν ἐπισκήπτωνται οἱ ἀντίδικοι ταῖς μαρτυρίαις[4]· οὐ γὰρ ἔστιν ἐπισκήψασθαι, ὅταν ἄρξωνται διαψηφίζεσθαι. ἔπειτα πάλιν ἀνακηρύττει «ἡ τετρυπημένη τοῦ πρότερον λέγοντος, ἡ δὲ πλήρης τοῦ ὕστερον λέγοντος.» ὁ δὲ δικαστὴς λαβόμενος ἐκ τοῦ λυχνείου τὰς ψήφους, πιέζων τὸν αὐλίσκον τῆς ψήφου καὶ οὐ δεικνύων τοῖς ἀγωνιζομένοις οὔτε τὸ τετρυπημένον οὔτε τὸ πλῆρες, ἐμβάλλει τὴν μὲν κυρίαν εἰς τὸν χαλκοῦν ἀμφορέα, τὴν δὲ ἄκυρον εἰς τὸν ξύλινον.

[1]hogy titkon ne dobhasson be [2]„így kizárólag *egy* szavazókorong fér be" [3](bírósági) kikiáltó [4]vajon kívánnak-e vádat emelni hamis tanúzásért

οἱ **ἀγωνιζόμενοι**, ων a pereskedők
ὁ αὐτός ugyanaz a személy
ἄκυρος 2 érvénytelen
ὁ **ἀμφορεύς**, έως öblös edény, amphora
ὁ **ἀντίδικος**, ου peres fél
ὁ **αὐλίσκος**, ου „csapocska" *(a korong átfúrt vagy tömör tengelye)*
διαιρετός 3 elkülönített
διερρινημένος 3 átfúrt
τὸ **δικαστήριον**, ου bíróság
ὁ **δικαστής**, οῦ bíró
τὸ **ἐπίθημα**, ατος fedél
ἵνα μή hogy ne; nehogy
κείμενος 3 elhelyezett, odatett
ὁ **κῆρυξ**, υκος kikiáltó; hírnök
κύριος 3 érvényes
τὸ **λυχνεῖον**, ου korongtartó
ἡ **μαρτυρία**, ας tanúvallomás
ξύλινος 3 fa-, fából való
ὁ μέν .. ὁ δέ az egyik ... a másik
ὅπως μή hogy ne; nehogy
ὅταν ha; amikor (csak)
οὐκ ἔστιν nem lehet
πλήρης 2 teli; tömör (átfúratlan)
πρότερον előbb, korábban
ὁ **πρότερον λέγων** a vádló
τετρυπημένος 3 átfúrt
ἡ **τετρυπημένη** az átfúrt ψῆφος
ὁ **ὕστερον λέγων** a vádlott
ἡ **ψῆφος**, ου szavazókorong
ὥστε úgyhogy

– A perfectum egy cselekvés következményeként fennálló állapotot fejez ki.

I. Határozza meg a következő alakokat! Példa:
κελεύει : κελεύω = parancsolok pr. ipf. ind. A. sg. 3
μετεπέμψατο :
καταλαβεῖν :
κεκμηκότες :
κατειλημμένοι :
ηὐξήθη :
ἐκβήσῃ :

II. Párosítsa a kifejezéseket!

(a) törvényhozó	(1) εἰς νόσον ἐμπίπτει
(b) az öröksége	(2) ὁ θεὶς τὸν νόμον
(c) megtalálni az igazságot	(3) εἰς τὸν Ἀδρίαν πλεῖ
(d) a közelben lakók	(4) εὑρεῖν τὴν ἀλήθειαν
(f) az Adrián hajózik	(5) ἃ ὁ πατὴρ αὐτῷ κατέλιπε
(g) megbetegszik	(6) οἱ ἐγγὺς οἰκοῦντες

III. Melyik szó illik a mondatba?
1. Τί μένομεν; Ἦ οὐκ ἐπιστάμεθα ὅτι βασιλεὺς ἡμᾶς ἀπολέσαι ἂν περὶ παντὸς ποιήσαιτο, (ὥστε – ἵνα – ὅπως μὴ) καὶ τοῖς ἄλλοις Ἕλλησι φόβος εἴη ἐπὶ βασιλέα μέγαν στρατεύειν.
2. Ἦν δὲ, (ὅτι – ὅτε – ἅτε) ἐτελεύτα, ἀμφὶ τὰ πεντήκοντα ἔτη.
3. Ἐμοὶ οὖν δοκεῖ οὐχ ὥρα εἶναι ἡμῖν καθεύδειν (μηδ' – καὶ – οὐδ' – ἀλλ') ἀμελεῖν ἡμῶν αὐτῶν.
4. Καὶ ὅστις τε ὑμῶν τοὺς οἰκείους ἐπιθυμεῖ ἰδεῖν, μεμνήσθω (ἀνὴρ ἀγαθὸς – ἄνδρα ἀγαθὸν – ἀνδρὸς ἀγαθοῦ) εἶναι.
5. Οἱ μὲν στρατιῶται προσεδόκων τὸν Χειρίσοφον ἄγοντά τι [sc. μισθὸν] σφίσιν (ἥκοντα – ἥκειν – ἥκει)· ὁ δ' ἦγεν οὐδέν.

IV. Fordítsa görögre!
1. A görögök sok istent tiszteltek. 2. *Azt kívánja, hogy beszéljek az édesapámról.* 3. Az igazságosság a királyok dísze. 4. A Nílusban sok krokodil van. 5. Haspók. (= A gyomrának szolgál.) 6. Az öregeknek kevés foguk van. 7. Diogenés, mikor megkérdezték tőle, hogy mit csinál, azt mondta: Embert keresek. 8. *Csalódottan* (σφάλλομαι) *halt meg.* 9. Hol a lovam? 10. Mit csinálok, mit csinálok? Fürödni akarok! 11. A bölcsek szerint a sok nevetés az ostobaság bizonyítéka.

τεταγμένος 3
τετρυπημένος 3
πεπλασμένος 3
πεπαιδευμένος 3
ἱστορημένος 3
ἀπολελειμμένος 3
ἐκκεκαλυμμένος 3
κατακεκριμένος 3
προγεγενημένος 3
διερρινημένος 3
ἐξειλεγμένος 3
εἰκασμένος 3
προσηγγελμένος 3
ὡρωρυγμένος 3
συνερρυηκώς 3
τετελευτηκώς 3
μεμαθηκώς 3
ἀκηκοώς 3
εἰδώς 3
ἐγνωκώς 3
εὑρηκώς 3
εἰωθώς 3
τεταχώς 3
ἑστηκώς 3
ἑωρακώς 3
πεφηνώς 3
μεμηνώς 3
κεκραγώς 3
τεθνηκώς 3
τεθνεώς 3

λελυκέναι	λελύσθαι
λέλυκα	λέλυμαι
λέλυκας	λέλυσαι
λέλυκε(ν)	λέλυται
λελύκαμεν	λελύμεθα
λελύκατε	λέλυσθε
λελύκασι(ν)	λέλυνται

38 Εὐθέως παραχρῆμα ἀποθνῄσκει – A végzetes bájital

A peloponnésosi háború huszadik évében az oligarchák megdöntötték Athénban a demokráciát. Őket támogatta Antiphón is, sőt az egész ügyet ő készítette elő, s így az oligarchák könnyen jutottak hatalomhoz. Antiphónt ugyanis egyetlen kortársa sem előzte meg kiválóságban: éppoly páratlan képességgel tudott valamit végiggondolni, mint gondolatait kifejteni. Az oligarchák bukása után Antiphónt bevádolták, elítélték és kivégezték. Védőbeszédét, amely elveszett, az ókorban a legjobb törvényszéki beszédnek tartották. Antiphón mindazonáltal saját elhatározásából sohasem lépett a nép elé, mert a tömeg előítélettel hallgatta a képzett szónokokat — éppen rétorikai képzettségük miatt. Ezért mintabeszédeket írt, illetve logographosként mások számára készített beszédeket, megrendelésre.

῾Η δὲ παλλακὴ τοῦ Φιλόνεω τὴν σπονδὴν ἅμα ἐγχέουσα ἐκείνοις εὐχομένοις ἃ οὐκ ἔμελλε τελεῖσθαι[1], ὦ ἄνδρες, ἐνέχει τὸ φάρμακον. Καὶ ἅμα οἰομένη δεξιὸν ποιεῖν πλέον δίδωσι τῷ Φιλόνεῳ, ἴσως ὡς, εἰ δοίη[2] πλέον, μᾶλλον φιλησομένη ὑπὸ τοῦ Φιλόνεω· οὔπω γὰρ ᾔδει ὑπὸ τῆς μητρυιᾶς τῆς ἐμῆς ἐξαπατωμένη, πρὶν ἐν τῷ κακῷ ἤδη ἦν· τῷ δὲ πατρὶ τῷ ἡμετέρῳ ἔλασσον ἐνέχει. Καὶ ἐκεῖνοι ἐπειδὴ ἀπέσπεισαν[3], τὸν ἑαυτῶν φονέα μεταχειριζόμενοι ἐκπίνουσιν ὑστάτην πόσιν. ῾Ο μὲν οὖν Φιλόνεως εὐθέως παραχρῆμα ἀποθνῄσκει, ὁ δὲ πατὴρ ὁ ἡμέτερος εἰς νόσον ἐμπίπτει, ἐξ ἧς καὶ ἀπώλετο εἰκοσταῖος. ᾽Ανθ᾽ ὧν ἡ μὲν διακονήσασα καὶ χειρουργήσασα ἔχει τὰ ἐπίχειρα ὧν ἀξία ἦν, οὐδὲν αἰτία οὖσα – τῷ γὰρ δημοκοίνῳ τροχισθεῖσα παρεδόθη[4] –, ἡ δ᾽ αἰτία τε ἤδη καὶ ἐνθυμηθεῖσα ἕξει[5], ἐὰν ὑμεῖς τε καὶ οἱ θεοὶ θέλωσιν.

[1](olyanokat), amelyek nem teljesedhettek be [2]ha ad [3]miután elvégezték az italáldozatot [4]átadatott [5]*(sc. elnyeri büntetését)*

αἴτιος 3 okozó, bűnös
ἀντί (+ gen.) helyett; -ért; miatt
ἀνθ᾽ ὧν ezekért *(=büntetésül)*
δεξιός 3 jobb oldali; kedvező
ὁ **δημόκοινος**, ου hóhér
εἰκοσταῖος 3 „a huszadik napon”
ἔλασσον kevesebbet
ἐμός 3 enyém
τὰ **ἐπίχειρα**, ων bér, díj; büntetés
εὐθέως azonnal, mindjárt
ἡμέτερος 3 miénk
ἴσως talán, valószínűleg
ἐν τῷ **κακῷ** szerencsétlenségben
μᾶλλον még inkább
ἡ **μητρυιά**, ᾶς mostoha(anya)
ἡ **νόσος**, ου betegség
οὐδέν semennyire sem
οὔπω egyáltalán nem
ἡ **παλλακή** ῆς ágyas
παραχρῆμα abban a pillanatban
ὁ **πατήρ**, πατρός apa
ἡ **πόσις**, εως korty
πρίν mielőtt; míg ... nem
ἡ **σπονδή**, ῆς italáldozat
ὕστατος 3 legutolsó
τὸ **φάρμακον**, ου méreg
ὁ **Φιλόνεως**, εω Philoneós
ὁ **φονεύς**, έως gyilkos

– Ha a μέλλω ige ragozott alakjai mellett infinitivus áll, akkor az ige azt fejezi ki, hogy a főnévi igenévbe foglalt cselekvés hamarosan bekövetkezik. Fordítása: azon van, hogy; készül; már-már; a végzet rendelése az, hogy ....

I. Mennyi? ὀγδοήκοντα : nyolcvan

δέκα	ὀκτώ
εἴκοσι	χίλιοι
τέτταρες	δισχίλιοι
δύο	μία
ἐννέα	ὀκτωκαίδεκα
τέτταρες καὶ δέκα	πεντεκαίδεκα
εἷς	ὀγδοήκοντα
δύο πρὸς τοῖς εἴκοσι	πεντήκοντα
εἰκοσι ἑπτά	τριάκοντα
ἕνδεκα	δώδεκα
πέντε	ἑξακισχίλιοι
ἐννεακαίδεκα	ἑπτά

II. Melyik szó illik a mondatba?

1. Ἀλλὰ δίδωμί σοι, ἔφη ὁ Χειρίσοφος, (ἑκάτερον – ἀμφότερον – ὁπότερον) βούλει ἑλέσθαι.
2. Ὡς δὲ εἶδον οἱ Ἕλληνες ἐγγύς τε (ὄντες – εἶναι – ὄντας) τοὺς πολεμίους καὶ παρατεταγμένους ἐπῇσαν πολὺ προθυμότερον ἢ πρόσθεν.
3. Ἐγὼ μέν, ὦ ἄνδρες, ἤδη ὑμᾶς ἐπαινῶ· ὅπως δὲ καὶ ὑμεῖς ἐμὲ ἐπαινέσετε (ἐμοὶ – ἐμοῦ – ἐμὲ) μελήσει, ἢ μηκέτι με Κῦρον νομίζετε.
4. Ὁ Κῦρος διὰ τὸ φιλομαθὴς (ἐστί – εἶναι – ἦν) πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα, πῶς ἔχοντα τυγχάνοι, καὶ ὅσα αὐτὸς ὑπ᾽ ἄλλων ἐρωτῷτο.
5. Ἐγώ (σε – σου – σοι) τά τε χωρία ἀποδώσω καὶ τἄλλα ἃ ὑπεσχόμην.

III. Fordítsa görögre!

1. A spártaiak hadvezért küldtek Korinthosba, hogy ő vezesse a korinthosiakat. 2. A hadvezér azért jött, hogy békét kössön (ποιεῖν). 3. Gyorsabban jár (προτρέχω+ gen.) a nyelved, mint az eszed. 4. A hadvezér elküldött néhány katonát, hogy temessék el a halottakat. 5. Azért jöttem, hogy megkérdezzem a hadvezért, hol van a spártaiak tábora. 6. *Gyereknek lenni jó.* 7. A hadvezér hátrahagyott néhány katonát a tábor őrizetére. 8. *Két fia ott esett el, a harctéren.* 9. *Nem nagy* (ἀξιόλογος 2) *költő, de azért költő.* 10. *Éjszaka ma is veszedelmes* (ἐπικινδυνεύομαι) *itt járkálni.*

ε	ο	∅
λειπ-	λε-λοιπ-	λιπ-
πειθ-	πε-ποιθ-	πισ-τός
εἰδ-	οἰδ-	ἰδ-
ἐλευσ-	-ηλ(ο)υθ-	ἐλ(υ)θ-
φευγ-		φυγ-
χε(υ)-	χο-ή	χυ-
ῥε-	ῥο-ή	ῥυ-
στρεφ-	ἐ-στροφ-	στραφ-
τρεφ-	τε-τροφ-	τραφ-
φθερ-	φθορ-ά	φθαρ-
βέλ-ος	βολ-ή	βαλ-
		βλη-
στελ-	στόλ-ος	σταλ-
-κτεν-	-ε-κτον-	κταν-
πει-σ-	πε-πονθ-	πα-σ-
πελ-	πόλ-ος	πλ-
-τερ-	-τορ-	-τρ-
ἐχ-, ἑξ-	σχ-	ἕξ-οχ-ος
πετ-	ποτ-ή	πτ-
ἑπ-		-σπ-
τι-θη-	θω-μός	θε-
ἱ-στη-		στα-
φη-	φω-νή	φα-
δι-δω-		δο-
λη(β)-		λαβ-
θῡ-		θυ-
-νῡ-		-νυ-

pr. pf. A.	M.-P.
κέκοφα	ἧγμαι
κέκοφας	ἧξαι
κέκοφε(ν)	ἧκται
κεκόφαμεν	ἤγμεθα
κεκόφατε	ἧχθε
κεκόφασι(ν)	ἠγμένοι εἰσί

39 ῾Ρᾷον τοὺς ὀδόντας ἀριθμῆσαι – Több ujja van, mint foga

Stilizáltan egyszerű attikai nyelven írt a metoikos Lysias, aki fiatalon kiköltözött Thurioiba, s ott állítólag a szicíliai Teisiastól tanult szónokolni. Amikor Thurioiban az oligarchák kerültek hatalomra, a demokrata Lysias visszatért Athénba, ahol a családnak jól menő fegyverkészítő műhelye volt. A harmincak épp azért akarták megölni őt és fivérét, hogy vagyonukat megszerezzék. Fivérét kivégezték, Lysias Megarába szökött. A zsarnokok megbuktatása után egyiküket bevádolta testvére meggyilkolásáért. Mint metoikos nem vehetett részt a közéletben, ezért logographos lett. Egyszer egy beszédét tanulgató ügyfél reklamált nála, hogy a beszéd ugyan elsőre lenyűgözőnek tűnt, de ahányszor újraolvassa, egyre laposabb; mire Lysias, mosolyogva: Hát nem csak egyszer fogod elmondani a bírák előtt?

῾Αλλὰ γάρ, ὦ ἄνδρες δικασταί, οὐκ εἰς ἐμὲ μόνον τοιοῦτός ἐστιν, ἀλλὰ καὶ εἰς τοὺς ἄλλους ἅπαντας τοὺς αὐτῷ κεχρημένους. οὐχ οἱ μὲν κάπηλοι οἱ ἐγγὺς οἰκοῦντες, παρ᾽ ὧν προδόσεις λαμβάνων οὐκ ἀποδίδωσι, δικάζονται αὐτῷ συγκλείσαντες τὰ καπηλεῖα, οἱ δὲ γείτονες οὕτως ὑπ᾽ αὐτοῦ δεινὰ πάσχουσιν ὥστ᾽ ἐκλιπόντες τὰς αὑτῶν οἰκίας ἑτέρας πόρρω μισθοῦνται; ὅσους δ᾽ ἐράνους συνείλεκται, τὰς μὲν ὑπολοίπους φορὰς οὐ κατατίθησιν, ἀλλὰ περὶ τοῦτον τὸν κάπηλον ὡς περὶ στήλην διαφθείρονται. τοσοῦτοι δὲ ἐπὶ τὴν οἰκίαν ἅμα τῇ ἡμέρᾳ ἀπαιτήσοντες τὰ ὀφειλόμενα ἔρχονται ὥστε οἴεσθαι τοὺς παριόντας ἐπ᾽ ἐκφορὰν αὐτοὺς ἥκειν τούτου τεθνεῶτος. οὕτω δ᾽ οἱ ἐν τῷ Πειραιεῖ διάκεινται ὥστε πολὺ ἀσφαλέστερον εἶναι δοκεῖν εἰς τὸν ῾Αδρίαν πλεῖν ἢ τούτῳ συμβάλλειν. πολὺ γὰρ μᾶλλον ἃ ἂν δανείσηται αὐτοῦ νομίζει εἶναι ἢ ἃ ὁ πατὴρ αὐτῷ κατέλιπεν. ἀλλὰ γὰρ οὐ τὴν οὐσίαν κέκτηται ῾Ερμαίου τοῦ μυροπώλου, τὴν γυναῖκα διαφθείρας ἑβδομήκοντα ἔτη γεγονυῖαν; ἧς ἐρᾶν προσποιησάμενος οὕτω διέθηκεν ὥστε τὸν μὲν ἄνδρα αὐτῆς καὶ τοὺς υἱοὺς πτωχοὺς ἐποίησεν, αὐτὸν δὲ ἀντὶ καπήλου μυροπώλην ἀπέδειξεν· οὕτως ἐρωτικῶς τὸ κόριον μετεχειρίζετο τῆς ἡλικίας αὐτῆς ἀπολαύων, ἧς ῥᾷον τοὺς ὀδόντας ἀριθμῆσαι ἢ τῆς χειρὸς τοὺς δακτύλους. καί μοι ἀνάβητε τούτων μάρτυρες.

ὁ **᾽Αδρίας**, ου az Adria
ἅμα τῇ ἡμέρᾳ kora reggel
ἀσφαλής 2 biztonságos
ὁ **γείτων**, ονος szomszéd
ὁ **δάκτυλος**, ου ujj
δεινός 3 szörnyű, félelmes
ἑβδομήκοντα hetven
εἰς ἐμέ ellenem
ἡ **ἐκφορά**, ᾶς temetés
ὁ **ἔρανος**, ου kölcsöntőke
ἐρωτικῶς szerelmesen
ἡ **ἡλικία**, ας életkor
τὸ **καπηλεῖον**, ου kiskereskedés
ὁ **κάπηλος**, ου kiskereskedő
τὸ **κόριον**, ου leányzó
ὁ/ἡ **μάρτυς**, υρος tanú
ὁ **μυροπώλης**, ου illatszerárus
ἡ **οἰκία**, ας lakás
ἡ **οὐσία**, ας vagyon
τὰ **ὀφειλόμενα**, ων kölcsön
οἱ ἐν τῷ **Πειραιεῖ** a kikötő népe
παρ᾽ ὧν akiktől
πολύ sokkal
πόρρω távol
ἡ **πρόδοσις**, εως előleg
πτωχός 3 koldus
ῥᾷον könnyebb
ἡ **στήλη**, ης oszlop; fordulóoszlop *(a hippodromban)*
ὑπόλοιπος 2 hátralevő, hátralékos
ἡ **φορά**, ᾶς hozzájárulás, befizetés
ἡ **χείρ**, χειρός kéz
ὥστε οἴεσθαι úgyhogy arra gondolhat az ember

I. Párosítsa a kifejezéseket!

(a) tíz év(ig)	(1) κατὰ τὸν νόμον
(b) az okokat keresni	(2) πολυκέφαλα ζῷα
(c) a kilenc archón	(3) οἱ ἐννέα ἄρχοντες
(d) a törvény szerint	(4) ἔτη δέκα
(e) semmi haszna	(5) τὰς αἰτίας πυνθάνεσθαι
(f) tíz nap alatt	(6) ἐν δέκα ἡμέραις
(g) sokfejű lények	(7) ἡ ὑποψία τυραννίδος
(h) az önkényuralom gyanúja	(8) οὐδὲν ὠφελεῖ

II. Illesszen a mondatba participiumot a minta szerint!
Συμβουλεύω ὑμῖν καίπερ νεώτερος (εἰμί). : ὤν
1. Οἱ ἄνθρωποι ἅτε θνητοί (εἰσιν) ἀποθνήσκουσιν.
2. Ὁ στρατηγὸς στράτευμα (συνέλεξε) ἐπὶ τὸν βασιλέα ἦλθεν.
3. Οἱ Ἀθηναῖοι οὐδὲν (ἔπραξαν) ἀπέπλευσαν.
4. Οἱ στρατιῶται (προσῆλθον) πρὸς τὸν ποταμὸν διέβησαν εὐθύς.
5. Ὁ στρατηγὸς οὐκ (ἐθέλει) μισθὸν δοῦναι τοῖς στρατιώταις ἔφευγεν.
6. Οἱ στρατιῶται ἔμενον ἐν τῷ στρατοπέδῳ (δύνανται) ἀπελθεῖν.
7. Οἱ στρατιῶται συνελάμβανον τὸν στρατηγὸν (φεύγει) ὡς (ἀποκτενοῦσι).

III. Melyik szó illik a mondatba?
1. Κῦρος (τὸν – τὴν – τὸ) πρόφασιν ἐποιεῖτο (ὅτε – ὡς – ἐπεὶ) Πισίδας βουλόμενος ἐκβαλεῖν παντάπασιν ἐκ τῆς χώρας· καὶ ἀθροίζει ὡς ἐπὶ τούτους τό τε βαρβαρικὸν καὶ τὸ Ἑλληνικὸν [sc. στράτευμα].
2. (Οὗτοι – Οὗτοι) μέν, ὦ Κλέαρχε, ἄλλος ἄλλα λέγει· σὺ δ' ἡμῖν εἰπέ, (τί – τι) λέγεις;
3. Ἐλθὼν δὲ εἰς Δελφοὺς ὁ Ξενοφῶν ἐπήρετο τὸν (Ἀπόλλω – Ἀπόλλωνος – Ἀπόλλωνι), (τινι – τίνι) ἂν θεῶν θύων καὶ εὐχόμενος κάλλιστα καὶ ἄριστα ἔλθοι τὴν ὁδόν, (ὅν – ᾧ – ὃ) ἐπινοεῖ.
4. Ἀναβαίνει οὖν ὁ Κῦρος λαβὼν Τισσαφέρνην ὡς φίλον καὶ τῶν Ἑλλήνων (ἔχων – ἐχόντας – ἐχόντων) ὁπλίτας (τριακοσίας – τριακοσίους).
5. Μετὰ ταῦτα ἤδη ἡλίου δύνοντος (συνεκάλεσας – συγκαλέσας) στρατηγοὺς καὶ λοχαγοὺς ἔλεξε τοιάδε. Ἐμοί, ὦ ἄνδρες, θυομένῳ ἰέναι (ὡς – ἐπὶ – διὰ) βασιλέα (οὐκ – μὴ) ἐγίγνετο τὰ ἱερά.

IV. Fordítsa görögre!
1. Felderítőket küld mindenfelé, hogy tudják meg ((ὡς) πευσόμενος 3), mi történt. 2. A király hadvezére néhány felderítőt küldött, hogy találják ki, hol vertek tábort az athéniak. 3. *Nem tudtam, hol vagyok.* 4. *Most már tudtam, hogy hol vagyok, csak azt nem tudtam, hogy mióta vagyok itt.* 5. Nagy Sándor halála után egyik hadvezére, Ptolemaios lett Egyiptom királya. 6. Győzködték a szónokot, hogy szólaljon föl. 7. Rávették a szónokot a felszólalásra. 8. A katonák látták, hogy a hadvezér halott. 9. *Nem tudom, kicsoda a halott. Most tudom meg* (πυνθάνομαι) *, hogy élt, mikor már nem él.* 10. Most mit nevettek? Mit kell ezen nevetni?

40 Μήτε ἀποκτενεῖν ἄκριτον – Az ártatlanság vélelme

A peloponnésosi háborúban Athén megpróbálta leigázni Szicíliát. A flotta kifutása előtt kettős szentségtörés bolydította föl Athént: előkelő ifjak gúnyt űztek az eleusisi misztériumokból, és egy éjjel meggyalázták a város Hermáit. (A Hermák kultikus Hermés-fők kőoszlopon, phallosszal és felirattal.) Közülük sokakat elfogtak, így Andokidést is. Az ifjú arisztokrata úgy menekült meg, hogy föladta a bűnösöket; többségüket kivégezték. Utóbb Andokidés száműzetésbe kényszerült, és csak a háború után tért haza. Ezután mondta el védőbeszédét *A misztériumokról*, amikor a régi ügy, a Hermák megcsonkítása és a misztériumok profanizálása miatt bevádolták. Beszéde elérte célját: fölmentették. Később hűtlen követséggel vádolták meg, ekkor végleg elhagyta Athént. Neve alatt maradt fenn az *Alkibiadés elleni beszéd*.

᾽Αξιον δὲ μέμψασθαι τὸν θέντα τὸν νόμον, ὃς ἐναντία τῷ ὅρκῳ τοῦ δήμου καὶ τῆς βουλῆς ἐνομοθέτησεν· ἐκεῖ μὲν γὰρ ὄμνυτε μηδένα μήτ᾽ ἐξελᾶν μήτε δήσειν μήτε ἀποκτενεῖν ἄκριτον, ἐν δὲ τῷδε τῷ καιρῷ οὔτε κατηγορίας γενομένης οὔτε ἀπολογίας ἀποδοθείσης διαψηφισαμένων κρύβδην τὸν ὀστρακισθέντα τοσοῦτον χρόνον δεῖ στερηθῆναι τῆς πόλεως. Εἶτα ἐν τοῖς τοιούτοις οἱ πολλοὺς τοὺς ἑταίρους καὶ συνωμότας κεκτημένοι πλέον φέρονται τῶν ἄλλων[1]· οὐ γὰρ ὥσπερ ἐν τοῖς δικαστηρίοις οἱ λαχόντες κρίνουσιν, ἀλλὰ τούτου τοῦ πράγματος ἅπασιν ᾽Αθηναίοις μέτεστι. Πρὸς δὲ τούτοις τῷ μὲν ἐλλείπειν τῷ δ᾽ ὑπερβάλλειν ὁ νόμος μοι δοκεῖ· τῶν μὲν γὰρ ἰδίων ἀδικημάτων μεγάλην τιμωρίαν ταύτην νομίζω, τῶν δὲ δημοσίων μικρὰν καὶ οὐδενὸς ἀξίαν ἡγοῦμαι ζημίαν, ἐξὸν κολάζειν χρήμασι καὶ δεσμῷ καὶ θανάτῳ.

[1] πλέον φέρονται τῶν ἄλλων előnyben vannak a többiekhez képest

τὸ **ἀδίκημα**, ατος jogsértés
ἀδίκημα τὸ ἴδιον magánszemély elleni jogsértés
ἀδίκημα τὸ δημόσιον állam elleni jogsértés
ἄκριτος 2 ítélet nélkül(i)
ἡ **ἀπολογία**, ας védekezés
ὁ **δεσμός**, οῦ börtön
ἐν τοῖς τοιούτοις ilyen időkben
ἐξόν amikor lehetőség van
ἡ **ζημία**, ας büntetés
ὁ **θεὶς τὸν νόμον** törvényhozó
ὁ **καιρός**, οῦ alkalom
ἡ **κατηγορία**, ας vádemelés
κρύβδην titokban; titkos-
οἱ **λαχόντες** a kisorsoltak *(ti. bírák)*
ὁ **ὅρκος**, ου eskü
ὀστρακισθείς 3 „kicserepezett" *(Arany J.)*
πρὸς τούτοις továbbá, ráadásul
ὁ **συνωμότης**, ου összeesküvő
ἡ **τιμωρία**, ας büntetés
τοσοῦτον χρόνον oly hosszú ideig
τῷ μέν ... τῷ δέ egyfelől ..., másfelől
χρήμασι κολάζειν pénzbüntetéssel sújtani

– Az optativus ἄν -nal lehetőséget fejez ki (potentialitas).
– A kijelentő módú, múltidejű ige mellett az ἄν lehetetlenséget fejez ki (irrealitas). Az ἄν + praet. ipf. jelenre vonatkozó irrealitás, az ἄν + ao. pedig múltra vonatkozó irrealitás.
– A coniunctivus ἄν-nal általánosítást illetve a jövőre utalást fejez ki.

I. Állítsa párba a szinonimákat!
οὐ διαφέρει, ἀθυμεῖ, οὐκέτ᾽ ἔστι, πορεύεται, δύναται, προσβάλλει, ἀθύμως ἔχει, οἷός τέ ἐστι, ἐπιτίθεται, τέθνηκε, ὅμοιός ἐστι, βαίνει

II. Illessze a megfelelő elöljárószókat a mondatokba!
1. Οἱ Ἀθηναῖοι πολιορκούμενοι ..... γῆν καὶ ..... θάλατταν ἠπόρουν τί χρὴ ποιεῖν.
2. Ἀποθνῃσκόντων ... τῇ πόλει λιμῷ πολλῶν οἱ Ἀθηναῖοι οὐ διελέγοντο .... εἰρήνης.
3. Οἱ Ἀθηναῖοι ἔπεμψαν πρέσβεις ..... βασιλέα.
4. Ὁ βασιλεὺς αὐτοὺς ..... Λακεδαίμονα ἐκέλευεν ἰέναι.
5. Ἐγένετο ψήφισμα μὴ ἐξεῖναι ..... τούτων συμβουλεύειν.
6. ..... ταῦτα ἡρέθη πρεσβευτὴς ..... Λακεδαίμονα αὐτοκράτωρ δέκατος αὐτός.
7. Ὁ δὲ καὶ οἱ ..... αὐτῷ πρέσβεις ἐπανέφερον ταῦτα ..... τὰς Ἀθήνας.

III. Melyik szó illik a mondatba?
1. Ἄλλοι δὲ ἦσαν ἑξακισχίλιοι (ἵππους – ἱππεῖς), ὧν Ἀρταγέρσης ἦρχεν· οὗτοι δ᾽ αὖ (ἀντὶ – ἐξ – πρὸ) αὐτοῦ βασιλέως τεταγμένοι ἦσαν.
2. Ταῦτα δὲ (λέγων – λέγοντος) θορύβου ἤκουσε διὰ τῶν τάξεων ἰόντος, καὶ ἤρετο, (τίς – τις) ὁ θόρυβος εἴη.
3. Ὁ Κῦρος ὑπολαβὼν (τοὺς – τὰς) φεύγοντας (συλλέγων – συλλέξων – συλλέξας) στράτευμα ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.
4. Καὶ ἐν τούτῳ Κῦρος παρελαύνων αὐτὸς σὺν Πίγρητι τῷ (ἑρμηνεύω – ἑρμηνεῖ – ἑρμηνέως) καὶ ἄλλοις τρισὶν ἢ τέτταρσι τῷ Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα κατὰ μέσον (τὸ – τὸν) τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεὺς εἴη.
5. Ἐπεὶ μέντοι (θύοντι – θυομένῳ) αὐτῷ ἐπὶ τρεῖς ἡμέρας οὐκ ἐγίγνετο τὰ ἱερά, συγκαλέσας (τοὺς στρατηγούς – σὺν τοῖς στρατηγοῖς) εἶπεν.

IV. Melyik a kakukktojás, és miért?
σύν – ἐκ – ἐν – μετά

V. Fordítsa görögre!
1. A hadvezér, akit megválasztottak, gyáva. 2. Hiábavaló volt a keresés. 3. A hadvezér is ezt mondta. 4. A katona is ugyanazt (+ dat.) mondta, mint a hadvezér. 5. Azt mondta, megmondja (ἐρεῖν), hol volt. 6. Egész nap meneteltek (πορεύομαι). 7. Bátran harcolva legyőzték a barbárokat. 8. A katonáknak a megmenekülés (gen. obj.) reménye adott bátorságot. 9. Akik ezt mondták, hazudtak. 10. Akik a táborban voltak, megmenekültek. 11. *Tudják, hogy betegek.*

41 ῾Ο ἀκριβέστατος ἔλεγχος – Döntő bizonyíték

Örökösödési ügyekre szakosodott a logographos Isaios, aki Lysiashoz hasonlóan metoikos volt. Isaiostól tizenegy beszédet és egy hosszabb töredéket ismerünk. Stílusát így veti össze az ókori kritikus a Lysiaséval: Hogy a kettejük közti különbség még világosabbá váljék, a festészetből veszek hasonlatot. Az egyszerű színekkel festett régi képek nem tarkállnak az összekevert színektől, hanem határozott ecsetvonásokkal vannak megfestve, és finom báj vonja be őket. Ezeket olyan képek váltották föl, amelyekre kevésbé jellemzőek a határozott kontúrok, ugyanakkor kidolgozottabbak, fény és árnyék finomítja őket, és a színek gazdag keveredése adja szépségüket. A régebbiekre hasonlít Lysias, stílusának bája és egyszerűsége miatt, míg a finomabb és művészibb kidolgozásúakra Isaios.

῾Υμεῖς μὲν τοίνυν καὶ ἰδίᾳ καὶ δημοσίᾳ βάσανον ἀκριβέστατον ἔλεγχον νομίζετε· καὶ ὁπόταν δοῦλοι καὶ ἐλεύθεροι παραγένωνται καὶ δέῃ εὑρεθῆναί τι τῶν ζητουμένων, οὐ χρῆσθε ταῖς τῶν ἐλευθέρων μαρτυρίαις, ἀλλὰ τοὺς δούλους βασανίζοντες, οὕτω ζητεῖτε εὑρεῖν τὴν ἀλήθειαν τῶν γεγενημένων. Εἰκότως, ὦ ἄνδρες· σύνιστε γὰρ ὅτι τῶν μὲν μαρτυρησάντων ἤδη τινὲς ἔδοξαν οὐ τἀληθῆ μαρτυρῆσαι, τῶν δὲ βασανισθέντων οὐδένες πώποτε ἐξηλέγχθησαν[1] ὡς οὐκ ἀληθῆ ἐκ τῶν βασάνων εἰπόντες. Οὗτος δ' ὁ πάντων ἀναισχυντότατος ἀνθρώπων λόγοις πεπλασμένοις καὶ μάρτυσιν οὐ τἀληθῆ μαρτυροῦσιν ἀξιώσει πιστεύειν ὑμᾶς, φεύγων οὕτως ἀκριβεῖς ἐλέγχους; ᾽Αλλ' οὐχ ἡμεῖς, ἀλλὰ πρότερον ὑπὲρ τῶν μαρτυρηθήσεσθαι μελλόντων ἀξιώσαντες εἰς βασάνους ἐλθεῖν, τούτους δὲ φεύγοντας ἐπιδείξαντες, οὕτως οἰησόμεθα δεῖν ὑμᾶς τοῖς ἡμετέροις μάρτυσι πιστεύειν. Λαβὲ οὖν αὐτοῖς ταυτασὶ τὰς μαρτυρίας καὶ ἀνάγνωθι.

[1] soha nem cáfolták meg őket

ἀκριβής 2 biztos, hitelt érdemlő
ἀναισχυντότατος 3 leggyalázatosabb
ἡ **βάσανος**, ου kínvallatás
εἰς **βασάνους** ἐλθεῖν kínvall.-hoz folyamodni
ἐκ τῶν **βασάνων** kínvall. hatására
δημοσίᾳ közvád esetén
εἰκότως méltán
ὁ **ἔλεγχος**, ου bizonyíték, cáfolat
τὸ **ζητούμενον**, ου vitás pont
ἰδίᾳ magánvád esetén
λαβὲ καὶ ἀνάγνωθι fogd és olvasd fel
τὰ μαρτυρηθήσεσθαι **μέλλοντα** tanúvallomásban elhangzó dolgok
μὲν τοίνυν nos hát
ὁπόταν valahányszor
πεπλασμένος 3 koholt, hamis
πώποτε valaha *(tag.szóval: soha)*
ταυτασί ezeket itt

– A következményes mellékmondat kötőszava ὥστε (= hogy), „állítmánya" pedig infinitivus; tagadása μὴ. Ha a következmény tényleges bekövetkeztén van a hangsúly, akkor az állítmány kijelentő módú ragozott ige; tagadása οὐ. Középfokú melléknév után álló ἢ ὥστε fordítása: annál, (mintsem/semmint) hogy.

I. Oldja fel a krasisokat! Minta: τἀναλισκόμενα = τὰ ἀναλισκόμενα

καλὸς κἀγαθός, τἀληθῆ, ταὐτά, κἀκείνας, ἀνήρ, τοὔνομα, κἀγώ , κἀκεῖνος, αὐτός, ταὐτῇ, αὐτοί

II. Illessze a megfelelő elöljárószót a megfelelő helyre!
σύν – περί – μετά – εἰς – παρά – μετά – κατά – ἐπί
1. Οἱ Θηβαῖοι εὐθὺς ..... τὴν μάχην ἔπεμψαν ..... ᾽Αθήνας ἄγγελον ἐστεφανωμένον.
2. Οἱ μέντοι Λακεδιμόνιοι, ἀκούσαντες αὐτοῦ, πράττειν ..... τῶν σπονδῶν ἐκέλευον.
3. ..... δὲ ταῦτα τοῖς Λακεδαιμονίοις ἐδόκει βοηθητέον εἶναι ..... τοὺς ὅρκους τοῖς τεθνεῶσί τε τῶν Τεγεατῶν καὶ ἐκπεπτωκόσι· καὶ οὕτω στρατεύουσιν ..... τοὺς Μαντινέας, ὡς ..... τοὺς ὅρκους ..... ὅπλοις ἐληλυθότων αὐτῶν ἐπὶ τοὺς Τεγεάτας.

III. Párosítsa a megadott szavakat a magyar jelentésükkel!

(a) elsőszülött	(1) ἀποχειροβίοτος
(b) hamis tanú	(2) θεόπομπος
(c) hosszú combú (vagy lábú)	(3) ψευδόμαρτυς
(d) gyarmatváros; kivándorlás	(4) ἀποικία
(e) istentől küldött	(5) πατροκτόνος
(f) fényt hozó	(6) μακροσκελής
(g) keze munkájából élő	(7) πρωταγωνιστής
(h) főszereplő	(8) πρωτότοκος
(i) apagyilkos	(9) φωσφόρος

IV. **ἑταίρα — ἑτέρα**
1. ῾Ο γοῦν πάντων πονηρότατος ἄνθρωπος πλὴν τούτου ἐν (ἑταίρᾳ — ἑτέρᾳ) πόλει ᾤκει.
2. ῞Εστιν οὖν (ἑταίρα — ἑτέρα), Ναὶς ὄνομα, ἧς ᾽Αρχίας κύριός ἐστιν.
3. Οὗτοι μὲν αὐτὸν ἐπεδίωκον, ἐγὼ δὲ (ἑταίραν — ἑτέραν) ἀπελθὼν ὁδὸν ᾠχόμην.
4. Οὗτος γὰρ παῖς μὲν ὢν ἐκώμαζε μεθ᾽ ἡμέραν, ἄνηβος (ἑταίραν — ἑτέραν) ἔχων, μιμούμενος τοὺς ἑαυτοῦ προγόνους.

V. Fordítsa görögre!
1. *Csak róla beszél, aki már meghalt, mint az egyetlen valakiről, aki még igazán él.* 2. A betegeket hazaküldték a táborból. 3. A spártaiak elküldték az athéniakat, akik Kimón vezetésével azért jöttek, hogy segítsenek nekik. 4. Amikor ezt meghallották (pt.), Xenophónt választották meg hadvezérnek. 5. Miután ezt meghallotta, elmenekült. 6. Az athéniak gyakran harcoltak velük, és gyakran le is győzték őket. 7. *Nem állítom, hogy ismernek bennünket.* 8. Hadvezérekké a legderekabb férfiakat választották. 9. A katonák eltemették a hadvezért. 10. Az elesett katonákat eltemették (pass.).

42 Μὴ θαυμάσῃς – Ne csodálkozz, Fülöp!

Az athéni Isokratés a khairóneiai csata után halt meg, közel százévesen. A peloponnésosi háború alatt elveszítette vagyonát, majd mint beszédíró és szónoklattanár szerzett másikat. Alapelvét a szofistáktól vette: mivel az igazságot nem ismerhetjük meg, meg kell elégednünk a valószínűvel. Arisztokratákat nevelt szónokká, hogy a szót uralva ők uralkodhassanak a közéletben. Beszédei tanulmányozóját, mondja Dionysios Halikarnasseus, Isokratés kiváló szónokká neveli, és még a jellemét is nemesíti, így azok nemcsak családjuknak válnak hasznára, hanem városuknak is, sőt egész Hellasnak. Évekig csiszolt beszédeiben a görögök összefogását sürgette. Hellas gondjait ugyanis Isokratés szerint csak a görög városok szövetsége és a perzsa király elleni hadjárat oldhatja meg.

Καὶ μὴ θαυμάσῃς, ἅπερ ἐπέστειλα καὶ πρὸς Διονύσιον τὴν τυραννίδα κτησάμενον, εἰ μήτε στρατηγὸς ὢν μήτε ῥήτωρ μήτ' ἄλλως δυνάστης θρασύτερόν σοι διείλεγμαι τῶν ἄλλων. Ἐγὼ γὰρ πρὸς μὲν τὸ πολιτεύεσθαι πάντων ἀφυέστατος ἐγενόμην τῶν πολιτῶν· οὔτε γὰρ φωνὴν ἔσχον ἱκανὴν οὔτε τόλμαν δυναμένην ὄχλῳ χρῆσθαι καὶ μολύνεσθαι καὶ λοιδορεῖσθαι τοῖς ἐπὶ τοῦ βήματος καλινδουμένοις· τοῦ δὲ φρονεῖν εὖ καὶ πεπαιδεῦσθαι καλῶς, εἰ καί τις ἀγροικότερον εἶναι φήσει τὸ ῥηθὲν, ἀμφισβητῶ καὶ θείην ἂν ἐμαυτὸν[1] οὐκ ἐν τοῖς ἀπολελειμμένοις ἀλλ' ἐν τοῖς προέχουσι τῶν ἄλλων. Διόπερ ἐπιχειρῶ συμβουλεύειν τὸν τρόπον τοῦτον, ὃν ἐγὼ πέφυκα καὶ δύναμαι, καὶ τῇ πόλει καὶ τοῖς Ἕλλησιν καὶ τῶν ἀνδρῶν τοῖς ἐνδοξοτάτοις. (...) Διὸ δικαίως ἄν με πάντες ἐπαινοῖεν, ὅτι τῇ δυνάμει ταύτῃ χρώμενος, ἣν ἔχων τυγχάνω, διατετέλεκα πάντα τὸν χρόνον πολεμῶν μὲν τοῖς βαρβάροις, κατηγορῶν δὲ τῶν μὴ τὴν αὐτὴν ἐμοὶ γνώμην ἐχόντων, προτρέπειν δ' ἐπιχειρῶν οὓς ἂν ἐλπίσω μάλιστα δυνήσεσθαι τοὺς μὲν Ἕλληνας ἀγαθόν τι ποιῆσαι, τοὺς δὲ βαρβάρους ἀφελέσθαι τὴν ὑπάρχουσαν εὐδαιμονίαν.

[1] sorolnám magam

ἀγροικότερος 3 vaskosabb, durvább
ἄλλως másképp; egyébként
ἀπολελειμμένος 3 elmaradott
ἀφυής 2 nem rátermett; alkalmatlan
τὸ **βῆμα**, ατος *(szónoki)* emelvény
οἱ ἐπὶ τοῦ **βήματος** καλινδούμενοι a βῆμα-n forgolódók *(szónokok)*
ἡ **γνώμη**, ης vélemény
διό(περ) amiért; mivel
ἡ **δύναμις**, εως képesség, tehetség
ὁ **δυνάστης**, ου hatalomgyakorló
δυνάστης τῶν ἄλλων hatása van a többiekre
εἰ καί noha
ἔνδοξος 2 híres, nagyrabecsült
ἡ ὑπάρχουσα **εὐδαιμονία** a meglévő boldogság
θρασύτερον kertelés nélkül
ἱκανός 3 elegendő
ὁ **ὄχλος**, ου tömeg
ὁ **πολίτης**, ου polgár
οἱ **προέχοντες τῶν ἄλλων** a zöm előtt járók
πρὸς Διονύσιον Dionysioshoz *(Syrakusai tyrannosa)*
πρὸς τὸ πολιτεύεσθαι a közéletre
ὁ **ῥήτωρ**, ορος szónok, politikus
ἡ **τόλμα**, ης merészség
ὁ **τρόπος**, ου irány(zat), életmód
τὸ εὖ φρονεῖν helyes gondolkodás
τὸ καλῶς πεπαιδεῦσθαι műveltség

I. Adja meg a szavak jelentését!
ἄδηλος 2, ἀδύνατος 2, ἄκων 3, ἄνομος 2, ἀσαφής 2, ἄτιμος 2, ἄσιτος 2

II. Foglalja mondatba a következő időhatározókat!
πρὸ τῆς μάχης csata előtt
ἐν τούτῳ τῷ χρόνῳ ezalatt
τῇ προτερείᾳ az előző napon
ἀφ' ἑσπέρας estefelé
ἐν καιρῷ a megfelelő pillanatban

III. Párosítsa a kifejezéseket!

(a) a hosszú falak	(1) οὐκ ἀγνοοῦντες
(b) a 7. olympias	(2) οὐ πολλαῖς ἡμέραις
(c) a saját nevével	(3) ὡς ἔπος εἰπεῖν
(d) elhúzódó ostrom	(4) ὀλυμπιὰς ἑβδόμη
(e) úgyszólván	(5) ἔχων ναῦς ὀλίγας
(f) (ők) jól tudván	(6) τὰ μακρὰ τείχη
(g) néhány nap múlva	(7) σὺν τῷ ἑαυτοῦ ὀνόματι
(h) néhány hajóval	(8) πολυχρόνιος πολιορκία

IV. **ἡ βάσανος — ὁ βάναυσος**
1. Ἐγὼ τοίνυν εἰς τοῦτο προθυμίας ἀφικόμην, ἡγούμενος μετ' ἐμοῦ εἶναι καὶ ἐκ (βασάνων — βαναύσων) καὶ ἐκ μαρτύρων καὶ ἐκ τεκμηρίων ὑμᾶς περὶ τοῦ πράγματος τἀληθῆ πυθέσθαι.
2. Ἡ βελτίστη πόλις οὐ ποιήσει (βάσανον — βάναυσον) πολίτην.
3. Ταῦτα γὰρ οὔτ' ἔλεγχον οὔτε (βάσανον — βάναυσον) εἶχεν.

V. Illessze a gnómákba az odaillő szavakat!
ἰατρός – ἄπειρος – ἥμισυ – ἐγκώμιον – ἡδοναῖς – μέτρον – περιφέρει

Ἡ ἀρχὴ ..... τοῦ παντός.
Ὁ γραμμάτων ..... οὐ βλέπει βλέπων.
..... ἐν πᾶσιν ἄριστον.
Ὁ χρόνος θυμοῦ ..... .
Οὐδεὶς ἔπαινον ..... ἐκτήσατο.
Ὁ σοφὸς ἐν αὐτῷ ..... τὴν οὐσίαν.
Ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ..... .

VI. Fordítsa görögre!
1. Kit küld a hadvezér a folyóhoz? A legbátrabb katonát. 2. A hadvezér nem tudja, hol vannak a katonái. 3. A hadvezér azt mondja, nem tudja, mennyi katonája van. 4. Az athéniak száműzték a hadvezért. 5. Ez nem jó hadvezér, hanem szerencsés. 6. *Amíg ezt mondta, ránéztem* (εἰσοράω). 7. Vannak a katonák között bátrak, és vannak gyávák. 8. Nemcsak a katonák bátrak, hanem a hadvezérük is. 9. A katonák nem tudják, hová ment a hadvezér. 10. A katonák zajongtak, amikor a hadvezér azt mondta, hogy nem tudja, hol van az a katona, aki a folyóhoz ment.

43 ᾿Ορκος – Az ephébosok esküje

Lykurgos Isokratés tanítványa volt, ám vele ellentétben azt vallotta, hogy Hellasban a vezető szerep Athént illeti. A khairóneiai csata után 12 évig irányította a várost. Működése alatt nőtt Athén katonai ereje; színházat építtetett, és elkészíttette a tragikus triász műveinek hiteles példányait. Az összes törvényszegőt elüldözte, ezért egyes szofisták azt mondták róla, hogy nem tintába, hanem halálba mártotta tollát, mikor törvényeit írta. Az igazság szenvedélyes szeretetét mutatja a *Leókratés elleni vádbeszéde* is. A vádlott a khairóneiai vereség után megszegte ephébosi esküjét, és cserbenhagyta a várost. Lykurgos a beszédben a hazaszeretet dicső példáit sorolva hosszan idéz költőktől, például Tyrtaiostól, ezzel is nagyítva a bűnt. Leókratést egy szavazatkülönbséggel mentették fel.

῾Υμῖν γὰρ ἔστιν ὅρκος, ὃν ὀμνύουσι πάντες οἱ πολῖται, ἐπειδὰν εἰς τὸ ληξιαρχικὸν γραμματεῖον ἐγγραφῶσιν καὶ ἔφηβοι γένωνται, μήτε τὰ ἱερὰ ὅπλα καταισχυνεῖν μήτε τὴν τάξιν λείψειν, ἀμυνεῖν δὲ τῇ πατρίδι καὶ ἀμείνω παραδώσειν. ὃν εἰ μὲν ὀμώμοκε Λεωκράτης, φανερῶς ἐπιώρκηκεν, καὶ οὐ μόνον ὑμᾶς ἠδίκηκεν, ἀλλὰ καὶ εἰς τὸ θεῖον ἠσέβηκεν· εἰ δὲ μὴ ὀμώμοκεν, εὐθὺς δῆλός ἐστι παρασκευασάμενος ὡς οὐδὲν ποιήσων τῶν δεόντων, ἀνθ' ὧν δικαίως ἂν αὐτὸν καὶ ὑπὲρ ὑμῶν καὶ ὑπὲρ τῶν θεῶν τιμωρήσαισθε. βούλομαι δ' ὑμᾶς ἀκοῦσαι τοῦ ὅρκου. λέγε γραμματεῦ.

«Οὐκ αἰσχυνῶ τὰ ἱερὰ ὅπλα οὐδὲ λείψω τὸν παραστάτην ὅπου ἂν στοιχήσω· ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν καὶ ὁσίων καὶ οὐκ ἐλάττω παραδώσω τὴν πατρίδα, πλείω δὲ καὶ ἀρείω κατά τε ἐμαυτὸν καὶ μετὰ ἁπάντων· καὶ εὐηκοήσω τῶν ἀεὶ κραινόντων ἐμφρόνως καὶ τῶν θεσμῶν τῶν ἱδρυμένων καὶ οὓς ἂν τὸ λοιπὸν ἱδρύσωνται ἐμφρόνως· ἐὰν δέ τις ἀναιρεῖ, οὐκ ἐπιτρέψω κατά τε ἐμαυτὸν καὶ μετὰ πάντων, καὶ τιμήσω ἱερὰ τὰ πάτρια. ἵστορες θεοὶ ᾿Αγλαυρος, ῾Εστία, ᾿Ενυώ, ᾿Ενυάλιος ᾿Αρης καὶ ᾿Αθηνᾶ ᾿Αρεία, Ζεύς, Θαλλώ, Αὐξώ, ῾Ηγεμόνη, ῾Ηρακλῆς, ὅροι τῆς πατρίδος, πυροί, κριθαί, ἄμπελοι, ἐλάαι, συκαῖ.» Καλός γ' ὦ ἄνδρες καὶ ὅσιος ὁ ὅρκος. παρὰ τοῦτον τοίνυν ἅπαντα πεποίηκε Λεωκράτης.

ἀμείνων 2 jobb, értékesebb
ἀμείνω (ἀμείνονα) értékesebbként
ἡ **ἄμπελος**, ου szőlő
ἀρείω (ἀρείονα) erősebbként
ὁ **γραμματεύς**, έως jegyző, írnok
τὰ **δέοντα**, ων kötelességek
δικαίως jogosan
ἡ **ἐλάα**, άας olajfa
ἐλάττω (ἐλάττονα) kisebbként
ἐμφρόνως gondosan
ὁ **ἔφηβος**, ου ephébos *(18-20 éves sorkatona)*
τὸ **θεῖον**, ου istenség
ὁ **θεσμός**, οῦ isteni törvény
ὁ/ἡ **ἵστωρ**, ορος tanú
κατ' ἐμαυτόν erőm szerint
οἱ ἀεὶ **κραίνοντες** a mindenkori felettesek
ἡ **κριθή**, ῆς árpa
τὸ **ληξιαρχικὸν γραμματεῖον**, ου a polgárok jegyzéke
(τὸ) **λοιπόν** a jövőben
ὅπου ἄν bárhol (is)
ὁ **ὅρος**, ου határkő
ὅσιος 3 kegyes; megszentelt
ὁ **παραστάτης**, ου bajtárs
παρὰ τοῦτον ez ellen; ezzel szemben
πάτριος 3 atyai; ősi
τὰ **πάτρια**, ων ősi szokások
πλείω (πλείονα) többként
ὁ **πυρός**, οῦ búza
ἡ **συκή**, ῆς füge(fa)
φανερῶς nyilvánvalóan
ὑπὲρ ὑμῶν magatokra tekintettel

I. ἑκατόν (100) Adja meg a szavak jelentését!
ὁ ἑκατοντάρχης, ἑκατόγχειρος, ἑκατογκέφαλος, ἑκατόμπους

II. Határozza meg a következő igealakokat!
προσεποιεῖτο, ᾠ̈ετο, πεπαίδευνται, κρίνειεν, ἀνήλωσαν, πεποιημένος

III. Képezze a megadott alakokat!
megtette, tanulgatott, elhajóztam, engedelmeskedni fogunk, megöltétek

IV. **ἔνδοξος 2 — ἄδοξος 2**
1. Πρὸς δὲ τούτοις (ἔνδοξοι — ἄδοξοι) ὄντες οἱ εὐνοῦχοι παρὰ τοῖς ἄλλοις ἀνθρώποις καὶ διὰ τοῦτο δεσπότου ἐπικούρου προσδέονται.
2. Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ πλουσιώτερος ἀλλ' (ἐνδοξότερος — ἀδοξότερος)· πολλῶν γὰρ χρημάτων κρείττων ὁ παρὰ τοῦ πλήθους ἔπαινος.

V. Melyik szó illik a mondatba?
1. Κῦρος δὲ ἔχων οὓς (λέγε – εἰπών – εἴρηκα) ὡρμᾶτο ἀπὸ (Σάρδεις – Σάρδεων – Σάρδεσιν).
2. Ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δι' οὐδὲν ἄλλ' ἢ διὰ σοφίαν τινὰ τοῦτο τὸ ὄνομα (ἔχω – ἔσχον – ἔσχηκα).
3. Ἀβροκόμας δὲ οὐ τοῦτ' ἐποίησεν, ἀλλ' ἐπεὶ ἤκουσε Κῦρον ἐν Κιλικίᾳ (ὄντα – εἶναι – ἰέναι – ἰόντα), ἀναστρέψας ἐκ Φοινίκης (ἀπὸ – παρὰ – ἀνὰ) βασιλέα ἀπήλαυνεν, ἔχων, ὡς ἐλέγετο, τριάκοντα μυριάδας στρατιᾶς.
4. Ἄνδρες, τά τε ἱερὰ (ἡμῖν – ὑμῖν – αὐτοῖς) καλά, οἵ τε οἰωνοὶ αἴσιοι τά τε σφάγια κάλλιστα· ἴωμεν ἐπὶ τοὺς ἄνδρας.
5. Ξενοφῶν δὲ (κελεύσας – ξυγκαλέσας – ξυγκελεύσας) τοὺς Ἕλληνας εἶπεν· Ἄνδρες στρατιῶται, (οὐδὲν – μηδὲν) ἀθυμήσητε ἕνεκα τῶν γεγενημένων.
6. Ὦ θαυμασιώτατε ἄνθρωπε, σύγε οὐδὲ ὁρῶν γιγνώσκεις οὐδὲ ἀκούων (μέμνημαι – μέμνησαι – μέμνηται).

VI. Fordítsa görögre!
1. Az athéniak nem küldtek katonákat, de küldtek egy hadvezért. 2. A hadvezér azt mondta, hogy a király nem képes legyőzni az athéniakat. 3. Melyik katona fogja megmenteni magát a hadvezért? 4. A hírmondó jelentette a hadvezérnek, hogy nem látta az athéniak táborát. 5. Elismerem, hogy én magam öltem meg a hadvezért. 6. A hadvezér azt remélte, hogy egy katona sem látta meg őt, amikor ezt tette. 7. *Az olvasás is gondolkodás, s az írás is beszéd.* 8. A hadvezér azonnal követeket küldött a királyhoz. 9. Ez az a hadvezér, akivel jöttek. 10. *Hogy okos* (φρόνιμος 3) *volt, az valószínű. De hogy bölcs volt, az kétségtelen* (ἀναμφισβήτητος 2). 11. Azt akarom, hogy ezt tudjátok.

44 ῾Υπὲρ τῆς ἐλευθερίας ἀγωνιστέον – Rabok legyünk, vagy szabadok

Gyönge hangja elfúlt beszéd közben, ezért naphosszat gyakorolt, futás közben szavalt; hogy kiejtését javítsa, kavicsokat vett a szájába. Így vált az ókor elismerten legnagyobb szónokává Démosthenés. Isaiosnál tanult, s először gyámjait perelte be. A pereket megnyerte, de az örökség már elúszott, így beszédíró lett, és tanított. Hatvan-egynéhány műve maradt fenn, de többnek a hitelessége vitatott. Élete szorosan összefonódott a közélettel: politikai beszédeiben II. Philippost és athéni kiszolgálóit támadta. A beszédek alapgondolata az, hogy a király, miközben a békéről beszél, kiterjeszti befolyását, ám ebben nem saját tehetsége, hanem az athéniak tehetetlensége segíti. Démosthenés életének csúcspontja a három philippika; a harmadikat állítólag szinte bakkhosi őrjöngésben adta elő.

᾽Αλλὰ τί τούτων ὄφελος αὐτοῖς; ἕως ἂν σῴζηται τὸ σκάφος, ἄν τε μεῖζον ἄν τ᾽ ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην καὶ πάντ᾽ ἄνδρ᾽ ἐξῆς προθύμους εἶναι, καὶ ὅπως μήθ᾽ ἑκὼν μήτ᾽ ἄκων μηδεὶς ἀνατρέψει, τοῦτο σκοπεῖσθαι· ἐπειδὰν δ᾽ ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή. καὶ ἡμεῖς τοίνυν, ὦ ἄνδρες ᾽Αθηναῖοι, ἕως ἐσμὲν σῶοι, πόλιν μεγίστην ἔχοντες, ἀφορμὰς πλείστας, ἀξίωμα κάλλιστον, τί ποιῶμεν; πάλαι τις ἡδέως ἂν ἴσως ἐρωτήσας κάθηται. ἐγὼ νὴ Δί᾽ ἐρῶ, καὶ γράψω δέ, ὥστ᾽ ἂν βούλησθε χειροτονήσετε. αὐτοὶ πρῶτον ἀμυνόμενοι καὶ παρασκευαζόμενοι, τριήρεσι καὶ χρήμασι καὶ στρατιώταις λέγω· καὶ γὰρ ἂν ἅπαντες δήπου δουλεύειν συγχωρήσωσιν οἱ ἄλλοι, ἡμῖν γ᾽ ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιστέον· ταῦτα δὴ πάντ᾽ αὐτοὶ παρεσκευασμένοι καὶ ποιήσαντες φανερὰ τοὺς ἄλλους ἤδη παρακαλῶμεν, καὶ τοὺς ταῦτα διδάξοντας ἐκπέμπωμεν πρέσβεις πανταχοῖ, εἰς Πελοπόννησον, εἰς ῾Ρόδον, εἰς Χίον, ὡς βασιλέα λέγω (οὐδὲ γὰρ τῶν ἐκείνῳ συμφερόντων ἀφέστηκε[1] τὸ μὴ τοῦτον ἐᾶσαι πάντα καταστρέψασθαι), ἵν᾽ ἐὰν μὲν πείσητε, κοινωνοὺς ἔχητε καὶ τῶν κινδύνων καὶ τῶν ἀναλωμάτων, ἄν τι δέῃ, εἰ δὲ μή, χρόνους γ᾽ ἐμποιῆτε τοῖς πράγμασιν.

[1]hiszen neki is elemi érdeke

ἡμῖν **ἀγωνιστέον** küzdenünk kell
ἄκων 3 nem akarva, kényszerből
τὸ **ἀνάλωμα**, ατος költség, kiadás
τὸ **ἀξίωμα**, ατος megbecsülés
ἡ **ἀφορμή**, ῆς anyagi forrás
δήπου bizonyára
ἑκών 3 (οῦσα, όν) önként, akarva
ἐξῆς sorban; egymás után
ἕως ἄν amíg, mialatt
ἵνα ἐάν hogyha
κάλλιστος 3 legszebb *(itt: legnagyobb)*
ὁ **κίνδυνος**, ου veszély
κοινωνός 2 szövetséges
ὁ **κυβερνήτης**, ου kormányos
λέγω „úgy értem"; „azaz"
μάταιος 2 hiábavaló
ὁ **ναύτης**, ου tengerész, matróz
νὴ Δία Zeusra! (istenemre!)
τὸ **ὄφελος** haszon
πάλαι régen, hajdan
πανταχοῖ mindenüvé
ὁ **πρέσβυς**, εως követ
πρόθυμος 2 harcra kész
τὸ **σκάφος**, ους hajó(test)
ἡ **σπουδή**, ῆς igyekezet
σῶος 3 ép, sértetlen
τὰ **συμφέροντα**, ων érdekek
τοίνυν ezért, ennélfogva
ὑπὲρ τῆς ἐλευθερίας a szabadságért
ὡς βασιλέα a (perzsa) királyhoz

I. Mondja görögül!
1. A katona a sisakját keresi. 2. Apák és fiúk. *(cím)* 3. Zeusra, csak nem Sókratés anyját látom? 4. A tábor őreit elfogták és megölték. 5. Atreidés hadseregének trójai vívását a Költő énekelte meg.

II. Párosítsa a kifejezéseket!

(a) szokásunk szerint	(1) ἃ ἐβουλεύοντο
(b) távozása után	(2) κινδυνεύει ἀποθανεῖν
(c) életveszélyben van	(3) ὡς εἰώθαμεν
(d) meghiúsultak a reményeik	(4) ἐψεύσθησαν ὧν ἤλπιζον
(e) a terveik	(5) ἐν νῷ εἶχε φυγεῖν
(f) egy kortársam sem	(6) ἐπεὶ ἀπῆλθεν
(g) a menekülést fontolgatta	(7) οὐδεὶς τῶν ἐπ᾽ ἐμοῦ

III. Mondja görögül!
a kortársait; a terveink; meghiúsultak a reményeink; életveszélyben vagyunk; távozásom után, a terveimről; a terveid miatt; korábbi tervei helyett; terven felül

IV. Fordítsa magyarra!

1. ὡς ἔμοιγε δοκεῖ
2. ὡς φαίνεται
3. ὡς καλὰ τὰ δῶρα
4. λέγει ὡς ...
5. ὡς ἀφίκετο, εἰσῆλθεν
6. οὐκ ἀφικόμην ὡς πολεμήσων
7. ἐξῆλθε ὡς μάθοι τὰ γενόμενα
8. ὡς πλείστους στρατιώτας
9. ἀφίκετο ὡς βασιλέα

V. **πολῖτις — πολίτης**
1. Ἐλθὼν οὖν εἰς τὸν τυρὸν (sajtpiac) ταύτῃ τῇ ἡμέρᾳ ἐπυνθανόμην αὐτῶν, εἴ τινα γιγνώσκοιεν Παγκλέωνα (πολίτιδα — πολίτην) σφέτερον.
2. Οὗτοι γὰρ πολλοὺς μὲν τῶν (πολιτίδων — πολιτῶν) εἰς τοὺς πολεμίους ἐξήλασαν, πολλοὺς δ᾽ ἀδίκως ἀποκτείναντες ἀτάφους ἐποίησαν.

VI. Melyik a kakukktojás, és miért?
ἕλκω – ἕπομαι – ἐλπίζω – ἔχω

VII. Fordítsa görögre!
1. Aznap, amikor az ellenség elfoglalta a várost, elesett a hadvezér is. 2. A katonák is megbetegedtek, és a hadvezér is. 3. Ezt a vidéket barbárok lakják. 4. Az alattvalóik a tenger mellett laknak (= azok, akiken uralkodnak). 5. Ezt a gonosz embert nem volt nehéz rávenni az árulásra. 6. *Vártam, míg eljött.* 7. *Szép-e ez vagy csúnya* (αἰσχρός 3), *helyes-e, vagy helytelen, nem tudom.* 8. *Visszatérek abba a kis vendéglőbe* (τὸ πανδοκεῖον)*, ahonnan idejöttem, s ott följegyzem azt, amit láttam és hallottam, úgy, amint történt.* 9. *Az, akivel éppen szólani akarok, éppen fürdik.* 10. Hadvezér akarok lenni. 11. A jó szónokok meggyőzésre törekszenek.

45 Οὐ τὸν τρόπον, ἀλλὰ τὸν τόπον – Kutyából nem lesz szalonna

Démosthenés politikai ellenfele volt Aischinés, akit mindhárom ránkmaradt beszéde Démosthenéshez köt. Démosthenés a philokratési-béke után Timarchosszal bevádoltatta Aischinést azzal, hogy Philippos megvesztegette. Aischinés támadással védekezett: erkölcstelensége miatt bíróság elé állította Timarchost, akit el is ítéltek. Ügyesen becsmérelte ellenfeleit, mondják ókori kritikusai, és könnyedén rögtönzött. Ezután maga Démosthenés vádolta meg hűtlen követséggel. Mindkettejük beszéde fönnmaradt; Aischinést felmentették. Aischinés később is Démosthenést és híveit támadta: Ktésiphónt vádolva Démosthenés működését a nép ellen elkövetett bűnnek állítja be. A pert elvesztette — még a szavazatok ötödét sem kapta meg —, ezért elhagyta Athént, és Rhodoson nyitott iskolát.

Οὔτος τοίνυν, ὦ ἄνδρες ᾿Αθηναῖοι, ὁ τηλικοῦτος τὸ μέγεθος κόλαξ, πρῶτος διὰ τῶν κατασκόπων τῶν παρὰ Χαριδήμου πυθόμενος τὴν Φιλίππου τελευτήν, τῶν μὲν θεῶν συμπλάσας ἑαυτῷ ἐνύπνιον κατεψεύσατο ὡς οὐ παρὰ Χαριδήμου τὸ πρᾶγμα πεπυσμένος, ἀλλὰ παρὰ τοῦ Διὸς καὶ τῆς ᾿Αθηνᾶς, οὓς μεθ᾽ ἡμέραν ἐπιορκῶν νύκτωρ φησὶν ἑαυτῷ διαλέγεσθαι καὶ τὰ μέλλοντα ἔσεσθαι προλέγειν, ἑβδόμην δ᾽ ἡμέραν τῆς θυγατρὸς αὐτῷ τετελευτηκυίας, πρὶν πενθῆσαι καὶ τὰ νομιζόμενα ποιῆσαι, στεφανωσάμενος καὶ λευκὴν ἐσθῆτα λαβὼν ἐβουθύτει καὶ παρενόμει, τὴν μόνην ὁ δείλαιος καὶ πρώτην αὐτὸν πατέρα προσειποῦσαν ἀπολέσας. Καὶ οὐ τὸ δυστύχημα ὀνειδίζω, ἀλλὰ τὸν τρόπον ἐξετάζω. ῾Ο γὰρ μισότεκνος καὶ πατὴρ πονηρὸς οὐκ ἄν ποτε γένοιτο δημαγωγὸς χρηστός, οὐδὲ ὁ τὰ φίλτατα καὶ οἰκειότατα σώματα μὴ στέργων οὐδέποθ᾽ ὑμᾶς περὶ πολλοῦ ποιήσεται τοὺς ἀλλοτρίους, οὐδέ γε ὁ ἰδίᾳ πονηρὸς οὐκ ἂν γένοιτο δημοσίᾳ χρηστός, οὐδ᾽ ὅστις ἐστὶν οἴκοι φαῦλος, οὐδέποτ᾽ ἦν ἐν Μακεδονίᾳ καλὸς κἀγαθός· οὐ γὰρ τὸν τρόπον, ἀλλὰ τὸν τόπον μετήλλαξεν.

ἀλλότριος 3 idegen
δείλαιος 3 nyomorult
ὁ **δημαγωγός**, οῦ népvezér
δημοσίᾳ „ a köznek”
διὰ τῶν κατασκόπων a kémektől
τὸ **δυστύχημα**, ατος sorscsapás
ἕβδομος 3 hetedik
τὸ **ἐνύπνιον**, ου álom(kép)
ἡ **θυγάτηρ**, τρός leánya
ἰδίᾳ „a sajátjának”
καλὸς κἀγαθός derék s kiváló
ὁ **κατάσκοπος**, ου kém
ὁ **κόλαξ**, ακος hízelgő
λευκός 3 fehér
μεθ᾽ ἡμέραν reggel
τὰ **μέλλοντα**, ων a jöv(end)ő
μισότεκνος 2 a gyermekét gyűlölő
τὰ **νομιζόμενα**, ων az illendő dolgok
οἰκειότατος 3 legközebbi *(rokon)*
ὅστις, ἥτις, ὅ τι aki, ami
οὐδέποτε sohasem
παρὰ τοῦ Διός Zeustól
οἱ **παρὰ Χαριδήμου** a Kharidémostól (érkezők)
περὶ πολλοῦ ποιεῖται sokra tart
πονηρός 3 gonosz
πρὶν πενθῆσαι mielőtt meggyászolta volna
πρῶτος 3 első(ként)
τὸ **σῶμα**, ατος személy
ἡ **τελευτή**, ῆς vég *(halál)*
τετελευτηκώς 3 (υῖα, ός) halott
τηλικοῦτος τὸ μέγεθος akkora
ὁ **τρόπος**, ου jellem
φαῦλος 3 gonosz, galád
φίλτατος 3 legkedvesebb

I. **ὁ πόλεμος — (ὁ) πολέμιος**
1. Ταῦτα διανοηθέντες, καὶ τὰς ἐν τῷ (πολέμῳ — πολεμίῳ) τύχας κοινὰς ἁπάντων ἀνθρώπων νομίζοντες, πολλοὺς μὲν (πολέμους — πολεμίους) κτώμενοι, τὸ δὲ δίκαιον ἔχοντες σύμμαχον ἐνίκων μαχόμενοι.
2. Οὐ γὰρ δὴ οὐδὲ τοῦτο αὐτῷ προσήκει ποιῆσαι, ὅπερ ἐν τῇδε τῇ πόλει εἰθισμένον ἐστί, περὶ δὲ σφῶν αὐτῶν ἕτερα λέγοντες ἐνίοτε ἐξαπατῶσιν, ὑμῖν ἀποδεικνύντες ὡς στρατιῶται ἀγαθοί εἰσιν, ἢ ὡς πολλὰς τῶν (πολέμων — πολεμίων) ναῦς ἔλαβον τριηραρχήσαντες, ἢ πόλεις πολεμίας οὔσας φίλας ἐποίησαν· ἐπεὶ κελεύετε αὐτὸν ἀποδεῖξαι ὅπου τοσούτους τῶν (πολέμων — πολεμίων) ἀπέκτειναν ὅσους τῶν πολιτῶν.

II. Határozza meg az igealakokat!
ἀκουσάσῃ, λιπόντι, διελαύνοντα, ἐκμάθῃ, ἐπέλιπε

III. Képezze az alakokat!
megtette, küldeni fog, megmenekültem (biztonságban vagyok), engedelmeskedni fogsz, bíráskodik

IV. Melyik szó illik a mondatba?
1. [sc. οἱ στρατιῶται] Ἀνεπαύοντο δὲ (ποῦ – ὅπου – που) ἐτύγχανον ἕκαστος, οὐ δυνάμενοι καθεύδειν ὑπὸ λύπης καὶ πόθου πατρίδων, γονέων, γυναικῶν, παίδων, οὓς (ὁπότ' – οὔποτ' – μήποτ') ἐνόμιζον ἔτι (ὁρᾶν – ὄψεσθαι – ἰδεῖν).
2. Ὡς δὲ καὶ ἡ πόλις (νόμον – νόμους) ὑπογράψασα, ἀγαθῶν καὶ παλαιῶν νομοθετῶν εὑρήματα, (παρὰ – κατὰ) τούτους ἀναγκάζει καὶ ἄρχειν καὶ ἄρχεσθαι.
3. Ὅμως δὲ καὶ λέξον, ἔφη, ἐκ (τίνος – τινός) (ἔπληξας –ἐπλήγης).
4. Ἐνταῦθα διέσχον (ἀλλήλους – ἀλλήλων – ἀλλήλοις) βασιλεύς τε καὶ οἱ Ἕλληνες (διὰ – σὺν – ὡς) τριάκοντα στάδια.

V. Fordítsa a kifejezéseket!

1. ὄχλου συνδραμόντος
2. ἐμοῦ ἄκοντος
3. ὑμῶν ἑκόντων
4. ἡμῶν οὐχ ἑκόντων
5. οὐδενὸς κωλύοντος
6. σου τἀληθῆ ἐροῦντος
7. ἰόντων εἰς μάχην [sc. στρατιωτῶν]
8. ἄκοντος Διός
9. οὕτως ἐχόντων [sc. πραγμάτων]
10. παίδων ὄντων ἡμῶν
11. τοῦ παιδὸς γελάσαντος
12. τῆς κόρης οὐκ ἀκούσης

VI. Fordítsa görögre!
1. A katonák úgy döntöttek (ἔδοξε+ dat.), hogy nem engedelmeskednek a hadvezérnek. 2. A hadvezér állítólag nem érkezett meg. 3. *Ti eldobtátok a trombitát, de a trombita zeng* (φθέγγομαι) *tovább.* 4. *Elhatározom, hogy lefekszem.* 5. A katonák vártak, amíg a hadvezér megjött. 6. *Mindnyájan ezt cselekedjük.* 7. *Nincs hajó és evező* (ἡ κώπη)*, amely elvezetne innen.* 8. Amíg béke volt, a hadvezér nem félt. 9. *Ott essem el én, a harc mezején.* 10. *Minden öreg férfi szeme hasonlít a sas sokat látott szeméhez.*

46 Δημάδης ὁ Ἀθηναῖος – Ezer athéni sírja tanúskodik mellettem

Amikor megkérdezték Theophrastostól, milyen szónoknak tartja Démosthenést, így felelt: Méltó Athénhoz. És Démadést? Túlnőtt rajta — válaszolta. Démadés volt a legkönnyebben megvásárolható szónok. Khairóneiánál fogságba esett, és fogolyként ő eszközölte ki Philipposnál az enyhe békét. Ettől fogva a makedónokat szolgálta Athénban. Szeretett jól élni, sőt botrányosan jól. A makedón Antipatros mondta az öreg Démadésról, hogy csak a nyelve maradt meg belőle, meg a zsigerek, mint egy áldozati állatból. A rögtönzéseiről híres szónok Démosthenés ellenfele volt, akit szótagokból és nyelvből álló emberkének tartott. Démadést már Cicero sem olvashatta. Neve alatt maradt ránk a kétes hitelű *Tizenkét év*. Ebben a beszédben a szerző a khairóneiai csatát követő évekről beszélteti a szónokot.

Χιλίων Ἀθηναίων ταφὴ μαρτυρεῖ μοι κηδευθεῖσα ταῖς τῶν ἐναντίων χερσίν, ἃς ἀντὶ πολεμίων φιλίας ἐποίησα τοῖς ἀποθανοῦσιν. ἐνταῦθα ἐπιστὰς τοῖς πράγμασιν[1] ἔγραφα τὴν εἰρήνην, ὁμολογῶ. ἔγραφα καὶ Φιλίππῳ τιμάς, οὐκ ἀρνοῦμαι. δισχιλίους γὰρ αἰχμαλώτους ἄνευ λύτρων καὶ χίλια πολιτῶν σώματα χωρὶς κήρυκος καὶ τὸν Ὠρωπὸν[2] ἄνευ πρεσβείας λαβὼν ὑμῖν ταῦτ' ἔγραφα. ἐπείληπτο δὲ τῆς γραφούσης χειρὸς[3] οὐχ ἡ δωροδοκία τῶν Μακεδόνων, ὡς οὗτοι πλαττόμενοι λέγουσιν, ἀλλ' ὁ καιρὸς καὶ ἡ χρεία[4] καὶ τὸ τῆς πατρίδος συμφέρον[5] καὶ ἡ τοῦ βασιλέως φιλανθρωπία[6]. (. . .) ἐνταῦθ' ὁμοίως Δημοσθένης μὲν ἐκύρωσε πόλεμον, καλὴν μὲν τοῖς ὀνόμασιν οὐ σωτήριον δὲ τοῖς ἔργοις[7] συμβουλίαν εἰσηγησάμενος τοῖς πολίταις· ὡς δὲ πλησίον ἔστη τῆς Ἀττικῆς[8] ὁ πολέμιος, ἡ χώρα δὲ εἰς τὴν πόλιν κατεκλείετο[9], καὶ τὸ περιμάχητον καὶ θαυμαζόμενον ὑπὸ πάντων ἄστυ[10] βοῶν καὶ προβάτων ὥσπερ ἔπαυλις[11] ἐπληροῦτο, βοηθείας δ' οὐδαμόθεν[12] ἦν ἐλπίς, ἔγραφα τὴν εἰρήνην. ὁμολογῶ, καὶ φημὶ καλῶς καὶ συμφερόντως[13] πεπρᾶχθαι τοῦτο· κρεῖττον[14] γὰρ ἐπερχόμενον ἐκκλῖναι τὸ νέφος[15] ἢ φερομένῳ συναπενεχθῆναι τῷ ῥεύματι. ἀξιῶ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἐκ τῶν πραγμάτων λύπην ἐμοὶ παρ' ὑμῶν μηδεμίαν ἀπογεννῆσαι δυσμένειαν. οὐ γὰρ ἐγὼ κρατῶ τῆς τύχης ἀλλ' ἡ τύχη τοῦ βίου, δι' ἣν κινδυνεύει[16]. δεῖ δὲ τὸν σύμβουλον, καθάπερ[17] τὸν ἰατρόν, οὐ τῆς νόσου τὴν αἰτίαν ἔχειν, ἀλλὰ τῆς θεραπείας τὴν χάριν ἀπολαμβάνειν. καταχωρίσαντες οὖν τὰ συμβάντα[18] διὰ τὰς ἔξωθεν αἰτίας[19], φιλῶς ἐπὶ τῶν πραγμάτων γυμνὴν[20] θεωρήσατέ μου τὴν πολιτείαν[21].

[1] „átvéve az államügyek irányítását” [2] Attika és Boiótia határvidéke [3] „a fogalmazó kezet ... vezette” [4] kényszer [5] a haza üdve [6] *(lat.)* humanitas [7] valójában; ténylegesen [8] ἡ Ἀττική (sc. γῆ) Attika [9] a vidék beszorult a városba [10] Athén *(a vidékkel szemben)* [11] mint egy juhakol [12] sehonnan [13] (számunkra) előnyösen [14] jobb [15] ἐπερχόμενον τὸ νέφος a közelgő vihar(felleg) [16] δι' ἣν κινδυνεύει hiszen az élet a szerencse kockáján forog [17] ugyanúgy, mint [18] a történések [19] a külső tényezők miatt [20] „önmagában” [21] politikai működésemet

οἱ **αἰχμάλωτοι**, ων hadifoglyok
ἡ **βοήθεια**, ας segítség, felmentés
ἡ **δυσμένεια**, ας ellenszenv
ἡ **δωροδοκία**, ας megvesztegetés
ἡ **εἰρήνη**, ης béke
ὁ **ἐνάντιος**, ου ellenfél
ἡ **θεραπεία**, ας ápolás, gondozás
τὸ **λύτρον**, ου váltságdíj
ἡ **πρεσβεία**, ας követség
τὸ **ῥεῦμα**, ατος áradat
ἡ **συμβουλία**, ας tanács
ὁ **σύμβουλος**, ου tanácsadó
οὐ **σωτήριος** 2 „romlást okozó”
ἡ **τιμή**, ῆς elismerés, előjog
χωρίς (+ gen.) vmi nélkül

I. **τρόπος — τροχός**

1. Ἀντὶ δὲ τούτου πολεμιστήρια κατεσκευάσατο ἅρματα (τρόποις — τροχοῖς) τε ἰσχυροῖς, ὡς μὴ ῥᾳδίως συντρίβηται.
2. Ὥσπερ γὰρ καὶ αἱ ἄλλαι τέχναι διαφερόντως ἐν ταῖς μεγάλαις πόλεσιν ἐξειργασμέναι εἰσί, κατὰ τὸν αὐτὸν (τρόπον — τροχόν) καὶ τὰ παρὰ βασιλεῖ σῖτα πολὺ διαφερόντως ἐκπεπόνηται.
3. Οἵδε μὲν οὖν ἐκ παντὸς (τρόπου — τροχοῦ) προθυμοῦνταί με τῇ δίκῃ ἁλῶναι.

II. Mondja görögül!

1. A potidaiaiak kecskéiről jobb nem beszélni. 2. Jobb királyokat érdemeltek, mint ezek. 3. A városaitokat a perzsák lerombolták. 4. A bíró apját megölték. 5. A király lányával szökött meg.

III. Melyik szó illik a mondatba?

1. Καὶ ταῦτα πάντα (ἐγένοντο – γέγονα – γέγονε) διὰ τὴν ἡμετέραν ἄνοιαν, ἀλλ' οὐ διὰ (τὸν – τοῦ – τὴν) ἐκείνου δύναμιν.
2. Οἱ δὲ φυγάδες ἡδέως ἐπείθοντο· ἐπίστευον γὰρ αὐτῷ· καὶ (λαβόντες – λαμβάνοντες) τὰ ὅπλα παρῆσαν (εἰς Σάρδεις – ἐν Σάρδεσι).
3. Περικλῆς (ὁ – τοῦ) Ξανθίππου, ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον πρῶτος (Ἀθηναῖος – Ἀθηναίων), λέγειν τε καὶ πράσσειν δυνατώτατος, (παραινεῖ – παρήνει) τοιάδε.
4. (Οὗτοι – Οὗτοι) ἔλεγον, ὅτι Κῦρος μὲν (ἀποθνήσκει – ἀπέθανεν – τέθνηκεν), Ἀριαῖος δὲ πεφευγὼς ἐν τῷ σταθμῷ εἴη μετὰ τῶν ἄλλων βαρβάρων.
5. Καὶ Βρασίδας καταστὰς ἐπὶ (ὁ – τὸν – τὸ) πλῆθος — ἦν δὲ οὐδὲ ἀδύνατος, ὡς (Ἀθηναῖος – Λακεδαιμόνιος), εἰπεῖν — ἔλεγε τοιάδε.

IV. Fordítsa a kifejezéseket!

1. ἀγαθόν ἐστι μάχεσθαι
2. τοῦτό ἐστι τὸ ἀδικεῖν
3. διὰ τὸ πολεμεῖν
4. βούλομαι μάχεσθαι
5. κελεύει με στρατηγεῖν
6. ἐκώλυεν ἡμᾶς μάχεσθαι
7. ὥρα ἐστι μάχεσθαι
8. δεῖ ὑμᾶς πολεμεῖν
9. χρὴ ἡμᾶς μάχεσθαι
10. ἔξεστί σοι στρατηγεῖν
11. δοκεῖ ἀγαθὸς στρατηγὸς εἶναι
12. φαίνεται ἀγαθὸς εἶναι

V. Fordítsa görögre!

1. A hadvezér fél, hogy a katonák gyávának tartják. 2. A katonák félnek, hogy a hadvezér meg fog halni. 3. A hadvezér félt, hogy a katonák nem maradnak a táborban. 4. A hadvezérek félnek, hogy a katonák elhagyják a tábort. 5. Olyan jó hadvezér volt, hogy bár kevés katonája volt, legyőzte az athéniakat. 6. A háború befejeződött, így aztán a katonák hazamentek. 7. A vesztes csata után a gyáva katonák a hadvezért szidták (κακῶς λέγειν + acc.). 8. A korinthosiak olyan gyávák voltak, hogy gyakran megfutamodtak a háborúban. 9. A hadvezér bátrabb volt annál, hogy (ἢ ὥστε+ inf.) féljen a haláltól. 10. Harcolni fogok, amennyiben megválasztotok hadvezérnek. 11. A katonák annyira féltek, hogy a hadvezér nem mert támadni.

47 Ἐξαπατῶντες ὑμᾶς – Becsapnak benneteket a politikusok

A korinthosi Deinarchos fiatalon került Athénba, ahol logographos lett. Az ókorban kanonizált tíz attikai szónokból az utolsót Dionysios Halikarnasseus azért dicsérte, mert az belátta, hogy számára már csak az utánzás maradt, lévén hogy Démosthenésszel már tetőpontjára jutott az ékesszólás. Ezért helyes, hogy őt követte, mondja Dionysios, azonban azok, akik nagyra tartják Deinarchost, tévednek, hiszen ő semmi újat nem hozott, és példaképével sem ér föl. Igyekezete mindenesetre a „falusi Démosthenés" ragadványnévhez juttatta. A Démosthenés elleni beszéde a leghíresebb — a vádlott személye miatt. Démosthenést azzal vádolták, hogy előbb befogadta, majd szökni hagyta Nagy Sándor Athénba szökött kincstárnokát, Harpalost, aki lefizette őt. Az elítélt Démosthenés megszökött Athénból.

Πῶς οὖν μίαν γνώμην ἕξομεν ὦ ἄνδρες Ἀθηναῖοι, πῶς ὁμονοήσομεν ἅπαντες ὑπὲρ τῶν κοινῇ συμφερόντων, ὅταν οἱ ἡγεμόνες καὶ οἱ δημαγωγοὶ χρήματα λαμβάνοντες προίωνται τὰ τῆς πατρίδος συμφέροντα, καὶ ὑμεῖς μὲν καὶ ὁ δῆμος ἅπας κινδυνεύῃ περὶ τοῦ ἐδάφους τοῦ τῆς πόλεως καὶ τῶν ἱερῶν τῶν πατρῴων καὶ παίδων καὶ γυναικῶν, οἱ δὲ διηλλαγμένοι πρὸς αὐτοὺς ἐν μὲν ταῖς ἐκκλησίαις λοιδορῶνται καὶ προσκρούωσιν ἀλλήλοις ἐξεπίτηδες, ἰδίᾳ δὲ ταὐτὰ πράττωσιν ἐξαπατῶντες ὑμᾶς τοὺς ῥᾷστα πειθομένους τοῖς τούτων λόγοις; τί γάρ ἐστι ῥήτορος δημοτικοῦ καὶ μισοῦντος τοὺς κατὰ τῆς πόλεως λέγοντας καὶ γράφοντας; ἢ τί φασι τοὺς πρὸ ὑμῶν γεγενημένους ὦ Δημόσθενες καὶ Πολύευκτε διατελεῖν ποιοῦντας, καὶ ταῦτ' οὐδενὸς δεινοῦ τότε τὴν πόλιν περιεστηκότος; οὐ κρίνειν ἀλλήλους; οὐκ εἰσαγγέλλειν; οὐ γράφεσθαι παρανόμων; ἔστιν οὖν ὅ τι πεποιήκατε τούτων ὑμεῖς οἱ φάσκοντες τοῦ δήμου κήδεσθαι καὶ τὴν σωτηρίαν ὑμῖν ἐν τῇ τούτων εἶναι ψήφῳ; γέγραφαι ψήφισμα Δημόσθενες, πολλῶν ὄντων καὶ δεινῶν καὶ παρανόμων ὧν Δημάδης γέγραφε; κεκώλυκάς τινα πρᾶξιν ὧν ἐκεῖνος προελόμενος κατὰ τοῦ δήμου πεπολίτευται; οὐδ' ἡντινοῦν. εἰσήγγελκας τὸν παρὰ τὰ τοῦ δήμου ψηφίσματα καὶ τοὺς νόμους πολλὰ διαπεπραγμένον; οὐδεπώποτε, ἀλλὰ περιεῖδες αὐτὸν ἐν τῇ ἀγορᾷ χαλκοῦν σταθέντα καὶ τῆς ἐν πρυτανείῳ σιτήσεως κεκοινωνηκότα τοῖς Ἁρμοδίου καὶ Ἀριστογείτονος ἀπογόνοις.

οἱ **ἀπόγονοι**, ων leszármazottak
οἱ πρὸ ὑμῶν **γεγενημένοι** elődeitek
τὸ **δεινόν**, οῦ szörnyűség
δημοτικός 3 nép- ; demokratikus
διηλλαγμένοι πρὸς αὐτούς összebeszélve
τὸ **ἔδαφος τὸ τῆς πόλεως** a haza földje
ἡ **ἐκκλησία**, ας népgyűlés
ἐξεπίτηδες szántszándékkal
τὸ **ἱερόν**, οῦ szentély
κατὰ τῆς πόλεως a város (érdeke) ellen
κατὰ τοῦ δήμου a nép (érdeke) ellen
κεκοινωνηκώς 3 részes (amiben: gen.)
ὁστισοῦν 3 bármelyik
ὁ ῥᾷστα πειθόμενος hiszékeny
παρά (+ acc.) ellen, ellenére
παράνομος 2 törvénysértő
παρανόμων γράφεσθαι alkotmányellenes javaslattétel vádját emelni
πατρῷος 3 atyai, ősi
περὶ παίδων a gyermekekért
πῶς hogyan
ῥᾷστα nagyon könnyen
τὰ κοινῇ συμφέροντα közérdek
ταὐτά (τὰ αὐτά) ugyanazon dolgok/at
ἡ **σίτησις**, εως étkez(tet)és
ἡ **σωτηρία**, ας menekvés, oltalom, üdv
αὐτὸν **χαλκοῦν** σταθέντα „őt bronzba öntve"
τὸ **ψήφισμα**, ατος határozat
ἡ **ψῆφος**, ου szavazat; döntés, ítélet

I. Vesse a megfelelő hangsúlyt a megfelelő szótagra!
λιπειν, λιπωνται, ἐλιπομεν, λιπητε, λιπουσης, λιπου, λιποντων, λιπον, λιποιο, ἐλιπου

II. Párosítsa a kifejezéseket!

(a) semmitmondóan / szó nélkül	(1) νόσῳ ἀπέθανε
(b) miért csinálja ezt?	(2) οὐδαμῶς ἐταράχθη
(c) betegség vitte el	(3) ἀνήρ τις ὃς γνώριμος ἦν
(d) harcban esett el	(4) ἰδὼν ἐθαύμαζε
(f) ámulva látta	(5) οὐδὲν εἰπών
(g) megőrizte hidegvérét	(6) μαχόμενος ἀπέθανε
(h) egy ismerős	(7) τί βουλόμενος ταῦτα δρᾷ

III. Mondja görögül!
az ismerőseimmel; ámulva látták; harc közben estek el; egy hölgyismerősét; sohasem veszítették el a fejüket

IV. **ὁ σύμβουλος — ὁ σύμβολος — τὸ σύμβολον**
1. Ὥστε οὐκ ἄξιον τούτοις πολλάκις χρῆσθαι (συμβούλοις — συμβόλοις), οἷς οὐδὲ ἅπαξ ἐλυσιτέλησε πειθομένοις.
2. Δῆμος γὰρ ὁ Πυριλάμπους, τριηραρχῶν εἰς Κύπρον, ἐδεήθη μου προσελθεῖν αὐτῷ, λέγων ὅτι ἔλαβε (σύμβουλον — σύμβολον) παρὰ βασιλέως τοῦ μεγάλου φιάλην χρυσῆν.
3. Οἱ μὲν οἰωνούς τε καὶ φήμας καὶ (συμβούλους — συμβόλους) τε καὶ μάντεις ὀνομάζουσι τοὺς προσημαίνοντας εἶναι, ἐγὼ δὲ τοῦτο δαιμόνιον καλῶ.

V. Fordítsa a következő mondatokat!
1. Πάντ' ἔστιν εὑρεῖν, ἂν πόνον μὴ φεύγῃ τις.
2. Δίκαιον εὖ πράττοντα μεμνῆσθαι θεοῦ.
3. Τό τοι θανεῖν οὐκ αἰσχρόν, ἀλλ' αἰσχρῶς θανεῖν.
4. Οὐ συνέγνωσαν αὐτῷ τὸ ἀδίκημα.
5. Ὁ οὖν Κῦρος οὐκ ἐψεύσθη ἐλπίζων αὐτοὺς εὐπειθεῖς εὑρήσειν.
6. Ψιλὴ ἦν ἅπασα ἡ χώρα.

VI. Fordítsa görögre!
1. A hatalom veszélyekkel jár, de némelyek örömüket lelik a veszélyekben és a hatalomban. 2. Ajándékokat kell küldeni. 3. Ajándékokat kell küldenünk nektek. 4. Nem kell ajándékot küldenetek nekünk. 5. Jónak lenni nehéz. Jóvá válni nehéz. 6. Démosthenés, Démosthenés apja Theopompos elbeszélése szerint derék ember volt. 7. A hadvezér megparancsolja a katonáknak, hogy tegyenek kárt (βλάπτω) a gazdagokban. 8. A hadvezér megtiltja a katonáknak, hogy kárt tegyenek a szegényekben. 9. A hadvezér azt mondja, hogy álmos (ὑπνώδης 2). 10. Az mondták, hogy nem mennek a király ellen. 11. Nem törődik (φροντίζω) azzal, hogy mit mondanak. 12. Azt mondták, nem törődnek azzal, hogy mit mond. 13. Megkérdezte, hol voltak. 14. Megkérdeztem, hová megy. 15. Elfogadta a tanácsomat. (= Hallgatott rám.) 16. Csodálkozásának adott hangot. (= Azt mondta, hogy csodálkozik.) 17. Elkezdődött a csata. (= Csatázni kezdtek.)

48 Ὥσπερ ὁ ἥλιος – Athén beragyogja Hellast

Az athéni Hypereidés gazdag logographos és igazi ínyenc volt, a széplányokat is szerette. A politikus Hypereidés Démosthenés fegyvertársa volt — egészen a Harpalos-ügyig. Ekkor szakított a megvesztegetett Démosthenésszel. Hat beszéde maradt ránk töredékesen, papíruszon. Hypereidés *Epitaphios*a az egyetlen minden kétséget kizáróan hiteles epitaphios. Az epitaphios a bemutató beszéd egyik fajtája: temetési beszéd. Nagy Sándor halála után az athéniak hadat üzentek a makedónoknak, kezdeti sikereik után pedig több polis csatlakozott az athéniakhoz. Tavasszal, az első háborús év athéni áldozatait búcsúztatva Hypereidés még a sikereket sorolhatta beszédében, de őszre Athén kapitulált. A győztes Antipatros megkínoztatta és kivégeztette Hypereidést, Démosthenés pedig öngyilkos lett.

Περὶ μὲν οὖν τῆς πόλεως διεξιέναι τὸ καθ' ἕκαστον ὧν πρότερον πᾶσαν τὴν Ἑλλάδα εὐεργέτηκεν οὔτε ὁ χρόνος ὁ παρὼν ἱκανὸς οὔτε ὁ καιρὸσ ἁρμόττων τῷ μακρολογεῖν, οὔτε ῥᾴδιον ἕνα ὄντα τοσαύτασ καὶ τηλικαύτας πράξεισ διεξελθεῖν καὶ μνημονεῦσαι. ἐπὶ κεφαλαίου δὲ οὐκ ὀκνήσω εἰπεῖν περὶ αὐτῆς· ὥσπερ γὰρ ὁ ἥλιος πᾶσαν τὴν οἰκουμένην ἐπέρχεται, τὰς μὲν ὥρας διακρίνων εἰς τὸ πρέπον καὶ καλῶς πάντα καθιστάς, τοῖς δὲ σώφροσι καὶ ἐπιεικέσι τῶν ἀνθρώπων ἐπιμελούμενος καὶ γενέσεως καὶ τροφῆς καὶ καρπῶν καὶ τῶν ἄλλων ἁπάντων τῶν εἰς τὸν βίον χρησίμων, οὕτως καὶ ἡ πόλις ἡμῶν διατελεῖ τοὺς μὲν κακοὺς κολάζουσα, τοῖς δὲ δικαίοις βοηθοῦσα, τὸ δὲ ἴσον ἀντὶ τῆς ἀδικίας ἅπασιν ἀπονέμουσα, τοῖς δὲ ἰδίοις κινδύνοις καὶ δαπάναις κοινὴν ἄδειαν τοῖς Ἕλλησιν παρασκευάζουσα. περὶ μὲν οὖν τῶν κοινῶν ἔργων τῆς πόλεως ὥσπερ προεῖπον φράσαι παραλείψω, περὶ δὲ Λεωσθένους καὶ τῶν ἄλλων τοὺς λόγους ποιήσομαι.

ἡ **ἄδεια**, ας biztonság
ἡ **ἀδικία**, ας igazságtalanság
ἀντὶ ἀδικίας igazságtalanság helyett
ἀνυπέρβλητος 2 felülmúlhatatlan
αὐτόχθων 2 őslakos
ἡ **δαπάνη**, ης költség
αἱ **δαπάναι**, ων kiadások
ἡ **εὐγένεια**, ας előkelő származás; nemesség
εὐήθης 2 jólelkű; együgyű, ostoba
εἰς τὸ πρέπον illendően
εἰς μίαν πόλιν egyetlen városba
ἐπιεικής 2 okos; jószívű
ἐπὶ κεφαλαίου röviden; általánosságban
ὁ **ἥλιος** ου a Nap
ἰδία egyénileg; egyenként
ἴσος 3 egyenlő
τὸ **ἴσον**, ου egyenlőség
κατ' ἄνδρα egyenként, személyenként
τὸ **μακρολογεῖν** szószaporítás, terjengős beszéd
νῦν most
ἡ **οἰκουμένη**, ης a lakott világ; „a földkerekség"
περίεργος 2 fölösleges
πότερος 3 melyik a kettő közül?
ῥᾴδιον (ἐστι) könnyű
τηλικοῦτος 3 oly nagy
τὸ καθ' ἕκαστον minden egyes dolgot külön–külön
ἡ **τροφή**, ῆς táplálék; ellátás
χρήσιμος 3 (εἰς + acc.) hasznos (vmire)
ὁ **χρόνος ὁ παρών** a jelen alkalom
σώφρων 2 mértékletes; tisztességes

I. Melyik a kakukktojás, és miért?
δέκα – ἑπτακαίδεκα – πέντε – ἐννέα

II. Válaszoljon a kérdésekre, ill. egészítse ki a mondatot!
1. Főmondati múlt idő után a kijelentő tárgyi mellékmondatban általában ... (*mód*) áll.
2. Az okhatározói mellékmondatokban szereplő tagadószó: .....
3. A célhatározói mellékmondatban általában ..... (*mód*) használatos, de múlt idő után ..... (*mód*) is állhat.
4. A következményes mellékmondatok kötőszava általában : .....
5. A közvetlen érzékelést kifejező igék után ..... (*mondatrövidítő szerkezet*) állhat (acc. c. inf. helyett).
6. Οὐκ οἶδα, ὅπως εἶπω. Milyen mellékmondat?
7. Milyen mellékmondatot kötnek ezek a kötőszavak: οὖν, τοίνυν, οὔκουν?
8. Ἐπεὶ πάντες συνῆλθον, ἐκαθέζοντο. Milyen mellékmondat?
9. A következményes mellékmondatban, ha a következmény csak lehetséges, ... szerepel (állítmányként).

III. Olvassa el a történetet, majd válaszoljon a kérdésekre! (I)gaz; (H)amis; (K)i tudja?
Χειλωνὶς Κλεάδα θυγάτηρ, Θεοπόμπου γυνή, μαθοῦσα τὸν ἄνδρα ὑπὸ Ἀρκάδων αἰχμάλωτον φυλάσσεσθαι ἦλθεν ἐς τοὺς πολεμίους ἐκοῦσα. Θαυμάσαντες αὐτῆς τὸ φίλανδρον Ἀρκάδες ἐπέτρεψαν ἐς τὸ δεσμωτήριον (börtön) αὐτὴν παρελθεῖν. Ἡ δὲ τὴν αὐτῆς ἐσθῆτα τῷ ἀνδρὶ περιθεῖσα, τὴν ἐκείνου δὲ αὐτὴ λαβοῦσα ἔπεισεν αὐτὸν ὑπεξελθεῖν, αὐτὴ δὲ ἀντ' αὐτοῦ παρὰ τοῖς πολεμίοις ἔμεινε. Θεόπομπος τῷ στρατηγήματι (hadicsel) τῆς γυναικὸς διασωθεὶς καὶ αὐτὸς τὴν ἱέρειαν τῆς Ἀρτέμιδος εἰς Φενεὸν πομπεύουσαν ἥρπασε· Τεγεᾶται ταύτην ἀπολαβεῖν θέλοντες ἀπέδωκαν αὐτῷ τὴν Χειλωνίδα.
1. Kheilónis Kleadas húga. …
2. Theopompos Árkádiába utazott. …
3. Kheilónist bebörtönözték. …
4. Kheilónis lefizette az őröket. …
5. Kheilónis ruhát cserélt Theopomposszal. …
6. Theopompost ki akarták végezni. …
7. Theopompos Artemishez imádkozott. …
8. Theopompos elrabolta a papnőt. …
9. A tegeaiak kompromisszumot kötöttek. …

IV. Fordítsa görögre!
1. Knidosi születésű volt, de Athénban lakott. 2. A katona okosabb volt annál, hogy szidja a hadvezéreket. 3. A hadvezér nem volt képes rávenni a katonákat a harcra. 4. A hadvezér nem akarja elolvasni a katonák levelét (= levelet, amit a k. írtak). 5. A hadvezér azért teszi mindezeket, hogy a katonák bátornak tartsák. 6. Hiábavaló volt a fáradozás, vagy nem? 7. A katona magas (μέγας), úgyhogy mindenki láthatja a sisakját. 8. A katonák követeket küldtek a hadvezérhez, hogy elkérjék a zsoldot. 9. *Akit én szeretek, meg van az szeretve.* 10. *Úgy kell írni, hogy azonnal megértsék* (κατανοεῖν)*, mit akarunk mondani.*

49 Ὥσπερ ἡ μέλιττα – Mint a méh

Basileios (Nagy Szent Vazul) kaisareiai püspök arról beszél unokaöccseinek szóló intelmében, hogy hogyan forgathatjuk haszonnal az irodalmi műveket. A pogány íróknál is vannak olyan gondolatok, amelyek épülésünkre szolgálnak. De csak a hasznosat kell elfogadnunk, azaz válogatnunk kell. Használjuk tehát a könyveket a méhek példája szerint! A méhek sem repülnek oda minden virághoz, és ha egyet kiválasztanak, akkor sem akarják azt mindenestül magukkal vinni. Csak azt gyűjtik ki belőle, amire szükségük van. Jól akkor használjuk a könyveket, ha méhek módjára csak azt vesszük birtokba belőlük, ami hasznunkra van és rokon az Igazsággal, a többitől azonban óvakodunk. A méh és az olvasó közötti közismert allegóriát Basileios valószínűleg Isokratés egyik követőjének művéből „gyűjtötte".

Εἰ δὲ δεῖ θνητὸν[1] ὄντα τῆς τῶν θεῶν στοχάσασθαι διανοίας, ἡγοῦμαι κἀκείνους ἐπὶ τοῖς οἰκειοτάτοις[2] μάλιστα δηλῶσαι πῶς ἔχουσι[3] πρὸς τοὺς φαύλους καὶ τοὺς σπουδαίους[4] τῶν ἀνθρώπων. Ζεὺς γὰρ Ἡρακλέα καὶ Τάνταλον γεννήσας, ὡς οἱ μῦθοι λέγουσι καὶ πάντες πιστεύουσι, τὸν μὲν διὰ τὴν ἀρετὴν ἀθάνατον[5] ἐποίησεν, τὸν δὲ διὰ τὴν κακίαν ταῖς μεγίσταις τιμωρίαις ἐκόλασεν. Οἷς δεῖ παραδείγμασι[6] χρώμενόν σ' ὀρέγεσθαι τῆς καλοκαγαθίας[7], καὶ μὴ μόνον τοῖς ὑφ' ἡμῶν εἰρημένοις[8] ἐμμένειν ἀλλὰ καὶ τῶν ποιητῶν τὰ βέλτιστα[9] μανθάνειν καὶ τῶν ἄλλων σοφιστῶν εἴ τι χρήσιμον εἰρήκασιν ἀναγιγνώσκειν. Ὥσπερ γὰρ τὴν μέλιτταν ὁρῶμεν ἐφ' ἅπαντα μὲν τὰ βλαστήματα[10] καθιζάνουσαν, ἀφ' ἑκάστου δὲ τὰ βέλτιστα[11] λαμβάνουσαν, οὕτω δεῖ καὶ τοὺς παιδείας[12] ὀρεγομένους μηδενὸς μὲν ἀπείρως[13] ἔχειν, πανταχόθεν δὲ τὰ χρήσιμα συλλέγειν.

[1]θνητός 3 halandó [2]„gyermekeiken" [3]hogyan viszonyulnak [4]σπουδαῖος 3 derék [5]ἀθάνατος 2 halhatatlan [6]τὸ παράδειγμα példa [7]ἡ καλοκαγαθία tökéletesség [8]a tanácsainkhoz [9]„aranyigazságait" (βέλτιστος 3 legjobb) [10]τὸ βλάστημα virág [11]leghasznosabbakat [12]ἡ παιδεία műveltség [13]ἀπείρως ἔχει τινος járatlan vmiben

A (tag)mondatokat sorrendbe állítva szerkesszen értelmes történetet!

(a) αὐξηθέντος δὲ αὐτοῦ ἐλάλει πρὸς αὐτὸν ὡς πρὸς ἀκούοντα.
(b) ἐς μέγιστον δὲ μέγεθος ἐλθὼν ὁ δράκων ὑπὸ τῶν πολιτῶν ἐς ἐρημίαν ἀπηλάθη.
(c) παῖς παρ' αὐτοῖς δράκοντα μικρὸν ἐπρίατο καὶ ἔτρεφε μετὰ πολλῆς τῆς κομιδῆς.
(d) ὕστερον δὲ ὁ παῖς νεανίας γενόμενος ἀπό τινος θέας ἐπανιών, λῃσταῖς περιπεσὼν μετὰ τῶν συνηλίκων.
(e) καὶ ἤθυρε μετ' αὐτοῦ καὶ συνεκάθευδεν αὐτῷ.
(f) βοῆς γενομένης ἰδοὺ ὁ δράκων· καὶ τοὺς μὲν διεσκόρπισεν, οὓς δὲ ἀπέκτεινεν, αὐτὸν δὲ περιεσώσατο.
(g) πόλις ἐστὶ τῆς Ἀχαΐας αἱ Πάτραι.

50 ῾Ο ἑτερόφθαλμος – A félszemű

Azt mondják, hogy a lokrisiak éltek először írott törvényekkel, törvényhozójuk pedig Zaleukos volt. Zaleukos szigorú büntetéseket állapított meg: a bűnösöket általában megvakították. A lokrisiaknál új törvényt javasolni is veszélyes volt, hiszen mindenki csak hurokkal a nyakában adhatta elő javaslatát, s ha azt nem fogadták el, meghúzták a kötelet. Athénban az alkotmánnyal szemben föllépőket ostrakismosszal száműzték, ennek eltörlése után pedig törvénysértő javaslattétel vádjával perelték be azt, aki a népgyűlés elé törvénysértő javaslatot nyújtott be. Pervesztés esetén a határozatot eltörölték. Ha a javaslat elfogadásától még nem telt el egy év, a javaslattevőt meg is bírságolták, akár polgárjogát is elveszíthette. A γραφὴ παρανόμων-nal a bírák így még a népgyűlés szónokait is ellenőrzés alatt tartották.

Βούλομαι δ' ὑμῖν, ὦ ἄνδρες δικασταί, ἐν Λοκροῖς ὡς[1] νομοθετοῦσι διηγήσασθαι· οὐδὲν γὰρ χείρους[2] ἔσεσθε παράδειγμά τι ἀκηκοότες, ἄλλως τε καὶ[3] ᾧ πόλις εὐνομουμένη χρῆται. ἐκεῖ γὰρ οὕτως οἴονται δεῖν τοῖς πάλαι κειμένοις[4] χρῆσθαι νόμοις καὶ τὰ πάτρια περιστέλλειν καὶ μὴ πρὸς τὰς βουλήσεις[5] μηδὲ πρὸς τὰς διαδύσεις[6] τῶν ἀδικημάτων νομοθετεῖσθαι, ὥστ' ἄν τις βούληται νόμον καινὸν τιθέναι, ἐν βρόχῳ[7] τὸν τράχηλον ἔχων νομοθετεῖ, καὶ ἐὰν μὲν δόξῃ καλὸς καὶ χρήσιμος εἶναι ὁ νόμος, ζῇ[8] ὁ τιθεὶς[9] καὶ ἀπέρχεται, εἰ δὲ μή, τέθνηκεν ἐπισπασθέντος τοῦ βρόχου. καὶ γάρ τοι[10] καινοὺς μὲν οὐ τολμῶσι τίθεσθαι, τοῖς δὲ πάλαι κειμένοις ἀκριβῶς χρῶνται. καὶ ἐν πολλοῖς δὲ πάνυ ἔτεσιν, ὦ ἄνδρες δικασταί, εἷς λέγεται παρ' αὐτοῖς νόμος καινὸς τεθῆναι. ὄντος γὰρ αὐτόθι[11] νόμου, ἐάν τις ὀφθαλμὸν ἐκκόψῃ, ἀντεκκόψαι παρασχεῖν τὸν ἑαυτοῦ, καὶ οὐ χρημάτων τιμήσεως[12] οὐδεμιᾶς, ἀπειλῆσαί τις λέγεται ἐχθρὸς ἐχθρῷ ἕν' ἔχοντι ὀφθαλμὸν ὅτι αὐτοῦ ἐκκόψει τοῦτον τὸν ἕνα. γενομένης δὲ ταύτης τῆς ἀπειλῆς[13] χαλεπῶς ἐνεγκὼν ὁ ἑτερόφθαλμος, καὶ ἡγούμενος ἀβίωτον[14] αὐτῷ τὸν βίον τοῦτο παθόντι, λέγεται τολμῆσαι νόμον εἰσενεγκεῖν, ἐάν τις ἕνα ἔχοντος ὀφθαλμὸν ἐκκόψῃ, ἄμφω[15] ἀντεκκόψαι παρασχεῖν, ἵνα τῇ ἴσῃ συμφορᾷ[16] ἀμφότεροι χρῶνται. καὶ τοῦτον μόνον λέγονται Λοκροὶ θέσθαι τὸν νόμον ἐν πλεῖν ἢ διακοσίοις[17] ἔτεσιν.

[1]hogyan [2](χείρονες) hitványabbak [3]ἄλλως τε καὶ különösen [4]a régóta fennálló [5]ἡ βούλησις kívánság [6]ἡ διάδυσις mentesítés [7]ὁ βρόχος hurok [8]él(etben marad) [9]a (javaslat)tevő [10]bizony [11]ott [12]ἡ τίμησις kárpótlás [13]ἡ ἀπειλή fenyegetés [14]ἀβίωτος 2 elviselhetetlen [15]ἄμφω mindkettő(t) [16]ἡ συμφορά csapás; eredmény [17]πλεῖν ἢ διακόσιοι 3 több mint kétszáz

Párosítsa a csattanókat a történetekkel!

1. ῾Αρίστων πυνθανομένου τινος πόσοι Σπαρτιᾶται τὸ πλῆθος, εἶπε·
2. Διογένης λύχνον μεθ' ἡμέραν ἅψας, φησί·
3. Βίας ὁ Πριηνεὺς συμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς νεὼς κἀκείνων τοὺς θεοὺς ἐπικαλουμένων, ἔφη·
4. Στρατόνικος διδάσκων κιθαριστάς, ἐπειδὴ ἐν τῷ διδασκαλείῳ εἶχεν ἐννέα μὲν εἰκόνας τῶν Μουσῶν, τοῦ δὲ ῾Απόλλωνος μίαν, μαθητὰς δὲ δύο, πυνθανομένου τινὸς πόσους ἔχοι μαθητάς, ἔφη·

(a) ἄνθρωπον ζητῶ.
(b) σὺν τοῖς θεοῖς δώδεκα.
(c) ὅσοι ἱκανοί τοὺς ἐχθροὺς ἀπερύκειν.
(d) σιγᾶτε, μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας.

51 Σκεδαννύμενοι διεφθείροντο – Szétszóródva elpusztultak

Az abdérai Prótagoras mondta, hogy az istenekről nem tudhatja sem azt, hogy vannak, sem azt, hogy nincsenek. Ezzel egy másik filozófus szerint azt állította, hogy tudja, hogy nem léteznek. Ez azonban nem igaz; Prótagoras nem tagadta az istenek létezését, csak azt vonta kétségbe, hogy megismerhetők. Ő volt az első, aki magát szofistának nevezte. A szofisták filozófusok és szónokok voltak, akik városról városra járva előadásokat tartottak, és tandíj fejében oktattak. Céljuk politikusok képzése volt. Azt vetették a szemükre, hogy a vitatkozásban való jártasságukkal a gyengébb érvet erősebbé tudják tenni – Prótagoras szerint ugyanis minden dologról két ellentétes állítás lehetséges. A szofisták művei elvesztek; tanaikat Platón műveiből ismerjük, aki, mint közismert, támadta őket.

Ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας[1] μετέσχε μοίρας[2], πρῶτον μὲν διὰ τὴν τοῦ θεοῦ συγγένειαν[3] ζῴων[4] μόνον θεοὺς ἐνόμισεν, καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα[5] θεῶν· ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ[6] διηρθρώσατο τῇ τέχνῃ[7], καὶ οἰκήσεις[8] καὶ ἐσθῆτας καὶ ὑποδέσεις[9] καὶ στρωμνὰς[10] καὶ τὰς ἐκ γῆς τροφὰς ηὕρετο. οὕτω δὴ παρεσκευασμένοι κατ' ἀρχὰς[11] ἄνθρωποι ᾤκουν σποράδην[12], πόλεις δὲ οὐκ ἦσαν· ἀπώλλυντο οὖν ὑπὸ τῶν θηρίων διὰ τὸ πανταχῇ[13] αὐτῶν ἀσθενέστεροι[14] εἶναι[15], καὶ ἡ δημιουργικὴ τέχνη[16] αὐτοῖς πρὸς μὲν τροφὴν[17] ἱκανὴ βοηθὸς[18] ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής[19] – πολιτικὴν γὰρ τέχνην[20] οὔπω εἶχον, ἧς μέρος πολεμική[21] – ἐζήτουν[22] δὴ ἀθροίζεσθαι καὶ σῴζεσθαι κτίζοντες πόλεις· ὅτ'[23] οὖν ἀθροισθεῖεν, ἠδίκουν ἀλλήλους ἅτε[24] οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην, ὥστε πάλιν σκεδαννύμενοι διεφθείροντο.

[1]θεῖος 3 isteni [2]ἡ μοῖρα (osztály)rész [3]ἡ συγγένεια rokonság [4]az élőlények közül [5]τὸ ἄγαλμα szobor [6]gyorsan [7]„mesterségesen" [8]ἡ οἴκησις lakhely [9]ἡ ὑπόδεσις saru [10]ἡ στρωμνή (vetett) ágy [11]kezdetben [12]szétszórtan [13]mindenképpen; minden tekintetben [14]ἀσθενής 2 gyönge [15]διὰ τὸ ... εἶναι mivel ... voltak [16]kézművesség [17]az életben maradásra [18]βοηθός 2 ἦν (+ dat.) segítségükre volt [19]ἐνδεής 2 nem elegendő [20]a közösségalkotás képessége [21]a hadviselés képessége [22]törekedtek [23]valahányszor (opt. iterativus) [24]ἅτε (+ pt.) minthogy

Alkosson mondatokat a példa szerint a megadott szavak felhasználásával!

ἡ δύναμις, χράομαι, παρεῖναι, πράττω, πρέπει

Χρῆσθαι τῷ παρόντι ἀεὶ πρέπει καὶ ὅτι ἂν πράττῃς πράττειν εἰς δύναμιν.

(1) ἡ ἡμέρα, οἱ Ἕλληνες, πορεύομαι, πολεμέω, ὁ βασιλεύς
(2) ὁ κῆρυξ, πέμπω, αἰτέω, τὸ ἔτος, ἡ εἰρήνη
(3) ὁ ποιητής, τὸ βιβλίον, ἔχω, ὁ ἑταῖρος, ἀναγιγνώσκω,
(4) ὁ χρόνος, ἡ παιδεία, τὸ δένδρον, ἔξεστι, ὁ καρπός
(5) ὁ πίθηκος, ὁ ἵππος, κελεύω, διὰ τί, ὁ ποταμός

52 Προϊόντος τοῦ χρόνου – Telt-múlt az idő

Egy athéni polgár megölte felesége szeretőjét, mert rajtakapta a házasságtörésen. A megölt férfi rokonai bevádolták gyilkosságért. A vádlott elismeri, hogy ölt, de azzal védekezik, hogy tette jogos volt, hiszen a törvények megengedik, hogy a férj megölje a rajtakapott szeretőt. A rokonok viszont azt állítják, hogy tette nem volt jogos; a vádlott ugyanis haragosa volt az áldozatnak, akit azzal a szándékkal csalt be a házába, hogy ott meggyilkolja. A vádlott először a házasságáról mesél a bíráknak. Gyermekük megszületése után vakon megbízott a feleségében, de az a csábító karmaiba került. Végül az asszonyt már olyan vakmerővé tette a szenvedély, hogy még akkor is engedett vágyainak, amikor a birtokról váratlanul hazatért férje az emeleti hálószobában aludt.

Προϊόντος δὲ τοῦ χρόνου, ὦ ἄνδρες, ἦκον μὲν ἀπροσδοκήτως[1] ἐξ ἀγροῦ, μετὰ δὲ τὸ δεῖπνον[2] τὸ παιδίον[3] ἐβόα καὶ ἐδυσκόλαινεν ὑπὸ τῆς θεραπαίνης[4] ἐπίτηδες[5] λυπούμενον, ἵνα ταῦτα ποιῇ· ὁ γὰρ ἄνθρωπος[6] ἔνδον ἦν· ὕστερον γὰρ ἅπαντα ἐπυθόμην. καὶ ἐγὼ τὴν γυναῖκα ἀπιέναι ἐκέλευον καὶ δοῦναι τῷ παιδίῳ τὸν τιτθόν[7], ἵνα παύσηται κλᾶον. ἡ δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελεν, ὡς ἂν ἀσμένη[8] με ἑωρακυῖα ἥκοντα διὰ χρόνου[9]· ἐπειδὴ δὲ ἐγὼ ὠργιζόμην καὶ ἐκέλευον αὐτίκα[10] ἀπιέναι, ἵνα σύ γε[11] ἔφη πειρᾷς ἐνταῦθα τὴν παιδίσκην[12]· καὶ πρότερον δὲ μεθύων εἴλκες αὐτήν. κἀγὼ μὲν ἐγέλων, ἐκείνη δὲ ἀναστᾶσα καὶ ἀπιοῦσα προστίθησι τὴν θύραν[13], προσποιουμένη παίζειν, καὶ τὴν κλεῖν[14] ἐφέλκεται. κἀγὼ τούτων οὐδὲν ἐνθυμούμενος οὐδ' ὑπονοῶν ἐκάθευδον ἄσμενος[15], ἥκων ἐξ ἀγροῦ. ἐπειδὴ δὲ ἦν πρὸς ἡμέραν[16], ἦκεν ἐκείνη καὶ τὴν θύραν ἀνέῳξεν. ἐρομένου δέ μου τί αἱ θύραι νύκτωρ ψοφοῖεν, ἔφασκε τὸν λύχνον[17] ἀποσβεσθῆναι τὸν παρὰ τῷ παιδίῳ, εἶτα ἐκ τῶν γειτόνων ἐνάψασθαι. ἐσιώπων ἐγὼ καὶ ταῦτα οὕτως ἔχειν[18] ἡγούμην. ἔδοξε δέ μοι, ὦ ἄνδρες, τὸ πρόσωπον ἐψιμυθιῶσθαι, τοῦ ἀδελφοῦ[19] τεθνεῶτος οὔπω τριάκονθ' ἡμέρας[20]· ὅμως δ' οὐδ' οὕτως[21] οὐδὲν εἰπὼν περὶ τοῦ πράγματος ἐξελθὼν ᾠχόμην ἔξω[22] σιωπῇ[23].

[1]váratlanul [2]τὸ δεῖπνον étkezés, vacsora [3]τὸ παιδίον gyerek [4]ἡ θεραπαίνα szolgáló; „szárazdajka" [5]szándékosan [6](ti. a szerető) [7]δοῦναι τὸν τιτθόν megszoptatni [8]ὡς ἂν ἀσμένη „örömöt színlelve" [9]hosszú idő után [10]rögtön [11]σύ γε „te meg" [12]ἡ παιδίσκη kiscseléd [13]ἡ θύρα ajtó [14]ἡ κλείς retesz [15]„jóízűen"; „kiterülve" [16]hajnaltájt [17]ὁ λύχνος mécses [18]οὕτως ἔχει így van [19]ὁ ἀδελφός fivér [20]még 30 napja sem [21]οὐδ' οὕτως még erre sem [22]ki [23]csöndben; „szótlan"

Melyik szó illik a mondatba?

1. Ἐπειδὴ δὲ ἔως ἐγένετο, (διαβαῖνον – διαβήσονται – διέβαινον) τὴν γέφυραν ἐζευγμένην πλοίοις τριάκοντα καὶ ἑπτά.
2. Ποταμῷ γὰρ οὐκ (ἔστιν – ἐστὶν – ἐστιν) ἐμβῆναι δὶς τῷ αὐτῷ καθ' Ἡράκλειτον.
3. Οὐ πολλῷ δὲ ὕστερον ἀπὸ τοῦ αὐτοῦ σημείου οἵ τ' ἔνδον συνελαμβάνοντο καὶ οἱ ἔξω (κατεκόπησαν – κατέκοφαν – κατακόψουσι).
4. Κῦρος δὲ τούτοις ἀπορῶν τε καὶ λυπούμενος μετεπέμπετο τὸν Κλέαρχον· ὁ δὲ ἰέναι (οὐκ – οὐδὲν – μὴ – μηδὲν) ἤθελε.
5. Ὁ δ' ἀνὴρ (πολλοῦ – πολλῷ – πολλῶν) μὲν ἄξιος ᾧ ἂν φίλος ᾖ, χαλεπώτατος δ' ἐχθρός ᾧ ἂν πολέμιος ᾖ.
6. Ἐπεὶ δὲ ἀφίκοντο εἰς τὸ αὐτό, ἄσμενοί τε εἶδον ἀλλήλους καὶ ἠσπάζοντο (οἷον – ἢ – ὥσπερ) ἀδελφούς.
7. Οἱ βάρβαροι οὐ κραυγῇ (καὶ – ἀλλὰ) σιγῇ ὡς ἀνυστον καὶ ἡσυχῇ ἐν ἴσῳ καὶ βραδέως προσῇσαν.

53 Ἐπὶ τοὺς βαρβάρους – A perzsák ellen

„… a perzsa király nem szabad akaratukból uralkodik a szárazföld népei felett, hanem mert mindegyiküknél nagyobb fegyveres erőt gyűjtött maga köré; ha mi ennél is nagyobb haderővel kelünk át – amit közös elhatározás esetén könnyen megtehetnénk – háborítatlanul magunknak gyümölcsöztethetjük majd egész Ázsiát. És sokkal szebb is a nagykirállyal hadat viselnünk a [perzsa] királyságért, mint a vezetőszerepért civakodnunk egymás között.
A hadjáratra pedig méltányos a mostani nemzedék idejében sort kerítenünk, hogy a megpróbáltatások részesei a jószerencse áldásait is élvezhessék, s ne teljék el az életük végig balsorsban. Amúgyis elég a múlt – miféle szörnyűség meg nem esett benne? Mert sok rossz eleve megvan ugyan az emberi természetben, de mi a szükségszerűeknél is jóval többet eszeltünk ki … " (Isokratés; SZEPESSY TIBOR fordítása)

Ἐγὼ διελέχθην μὲν καὶ πρὸς Ἀντίπατρον περί τε τῶν τῇ πόλει καὶ τῶν σοὶ[1] συμφερόντων, ἐξαρκούντως[2] ὡς ἐμαυτὸν ἔπειθον[3], ἠβουλήθην δὲ καὶ πρὸς σὲ γράψαι, περὶ ὧν μοι δοκεῖ πρακτέον εἶναι[4] μετὰ τὴν εἰρήνην, παραπλήσια[5] μὲν τοῖς ἐν τῷ λόγῳ γεγραμμένοις, πολὺ δ' ἐκείνων συντομώτερα[6]. Κατ' ἐκεῖνον μὲν γὰρ τὸν χρόνον[7] συνεβούλευον ὡς χρὴ διαλλάξαντά σε τὴν πόλιν τὴν ἡμετέραν καὶ τὴν Λακεδαιμονίων καὶ τὴν Θηβαίων καὶ τὴν Ἀργείων[8] εἰς ὁμόνοιαν[9] καταστῆσαι τοὺς Ἕλληνας, ἡγούμενος, ἂν τὰς προεστώσας[10] πόλεις πείσῃς οὕτω φρονεῖν, ταχέως καὶ τὰς ἄλλας ἐπακολουθήσειν. Τότε μὲν οὖν ἄλλος ἦν καιρὸς, νῦν δὲ συμβέβηκεν[11] μηκέτι[12] δεῖν πείθειν· διὰ γὰρ τὸν ἀγῶνα τὸν γεγενημένον ἠναγκασμένοι πάντες εἰσὶν εὖ φρονεῖν καὶ τούτων ἐπιθυμεῖν ὧν ὑπονοοῦσιν σε βούλεσθαι πράττειν καὶ λέγειν, ὡς δεῖ παυσαμένους τῆς μανίας[13] καὶ τῆς πλεονεξίας[14] ἣν ἐποιοῦντο πρὸς ἀλλήλους, εἰς τὴν Ἀσίαν τὸν πόλεμον ἐξενεγκεῖν. Καὶ πολλοὶ πυνθάνονται παρ' ἐμοῦ[15] πότερον ἐγώ σοι παρῄνεσα ποιεῖσθαι τὴν στρατείαν[16] τὴν ἐπὶ τοὺς βαρβάρους ἢ[17] σοῦ διανοηθέντος συνεῖπον· ἐγὼ δ' οὐκ εἰδέναι μέν φημι τὸ σαφὲς[18], οὐ γὰρ συγγεγενῆσθαί σοι πρότερον, οὐ μὴν ἀλλ' οἴεσθαι σὲ μὲν ἐγνωκέναι περὶ τούτων, ἐμὲ δὲ συνειρηκέναι ταῖς σαῖς[19] ἐπιθυμίαις.

[1] *ti. Philippos* [2] eléggé [3] ὡς ἐμαυτὸν ἔπειθον „úgy gondolom" [4] πρακτέον teendő [5] hasonlóan [6] σύντομος 2 tömör [7] abban az időben [8] ἡ Ἀργείων (sc. πόλις) Argos [9] ἡ ὁμόνοια egyetértés [10] προεστῶσα (pt. pf.) „vezető" [11] a dolog úgy áll, hogy [12] többé már nem [13] ἡ μανία esztelenség [14] ἡ πλεονεξία kapzsiság; gőg [15] tőlem [16] ἡ στρατεία hadjárat [17] πότερον ... ἢ vajon ... vagy [18] „az igazság/ot" [19] σός 3 a te ...d; tiéd

Tagolja a szöveget, és tegye ki a hangsúlyjeleket!

ολεωνιδηςολακεδαιμονιος
καιοισυναυτωτριακοσιοιτον
μαντευομενοναυτοισθανα
τονειλοντοενπυλαιςκαιυπερτης
ελλαδοςευκαικαλωςαγωνισαμεν
οιτελουςετυχονευκλεουςκαιδοξανε
αυτοισαθανατοναπελιπονκα
ιφημηναγαθηνδιαιωνος

54 Τίς ἀγορεύειν βούλεται – Ki akar szólani?

Az athéniak szövetségre léptek a thébaiakkal a makedón Philippos ellen. A király athéni támogatói azonban elmérgesítették a két város viszonyát, így Philippos akadálytalanul vonulhatott Athén ellen, és elfoglalta Elateiát. A város elfoglalása riadalmat okozott Athénban; a prytanisok a hír vétele után azonnal intézkedéseket foganatosítottak. – A prytanisok a tanács ügyvivő tagjai voltak. Athénban évente ötszáz tanácstagot sorsoltak a tanácsba, minden phyléből ötvenet. Az évet tíz egységre osztották, és minden időszakban más phylé ötven tanácstagja vitte az ügyeket: ők határozták meg a tanács napirendjét, ők hívták össze a népgyűléseket, és javaslatokat készítettek elő a népgyűlés számára. A prytanisok általában a tanácsházban tartották üléseiket, és naponta együtt étkeztek az agorán, a tholosban.

῾Εσπέρα[1] μὲν γὰρ ἦν, ἦκε δ᾽ ἀγγέλλων τις ὡς[2] τοὺς πρυτάνεις[3] ὡς[4] ᾽Ελάτεια κατείληπται. καὶ μετὰ ταῦθ᾽[5] οἱ μὲν[6] εὐθὺς ἐξαναστάντες μεταξὺ[7] δειπνοῦντες[8] τούς τ᾽ ἐκ τῶν σκηνῶν τῶν κατὰ τὴν ἀγορὰν[9] ἐξεῖργον καὶ τὰ γέρρ᾽[10] ἐνεπίμπρασαν, οἱ δὲ τοὺς στρατηγοὺς μετεπέμποντο καὶ τὸν σαλπιγκτὴν ἐκάλουν· καὶ θορύβου[11] πλήρης ἦν ἡ πόλις. τῇ δ᾽ ὑστεραίᾳ[12], ἅμα τῇ ἡμέρᾳ, οἱ μὲν πρυτάνεις τὴν βουλὴν ἐκάλουν εἰς τὸ βουλευτήριον, ὑμεῖς δ᾽ εἰς τὴν ἐκκλησίαν ἐπορεύεσθε, καὶ πρὶν[13] ἐκείνην[14] χρηματίσαι καὶ προβουλεῦσαι πᾶς ὁ δῆμος ἄνω[15] καθῆτο. καὶ μετὰ ταῦτα ὡς[16] ἦλθεν ἡ βουλὴ καὶ ἀπήγγειλαν οἱ πρυτάνεις τὰ προσηγγελμέν᾽[17] ἑαυτοῖς καὶ τὸν ἥκοντα παρήγαγον κἀκεῖνος εἶπεν, ἠρώτα μὲν ὁ κῆρυξ[18] «τίς ἀγορεύειν βούλεται;» παρῆει δ᾽ οὐδείς. πολλάκις δὲ τοῦ κήρυκος ἐρωτῶντος οὐδὲν μᾶλλον[19] ἀνίστατ᾽ οὐδείς, ἁπάντων μὲν τῶν στρατηγῶν παρόντων, ἁπάντων δὲ τῶν ῥητόρων, καλούσης δὲ τῆς πατρίδος τὸν ἐροῦνθ᾽ ὑπὲρ[20] σωτηρίας· ἦν γὰρ ὁ κῆρυξ κατὰ τοὺς νόμους φωνὴν[21] ἀφίησι, ταύτην κοινὴν τῆς πατρίδος δίκαιον[22] ἡγεῖσθαι.

[1]ἡ ἑσπέρα este [2](+ acc.) -hoz [3]οἱ πρυτάνεις prytanisok [4]hogy [5]μετὰ ταῦτα ezután [6]οἱ μέν ... οἱ δέ egyesek ... mások pedig [7]közben [8]étkezés közben [9]αἱ σκηναὶ αἱ κατὰ τὴν ἀγοράν *(piaci)* bódék [10]τὰ γέρρα *(vesszőből font)* kerítés *(a piacon)* [11]ὁ θόρυβος lárma; riadalom [12]másnap [13]πρίν (+ Inf.) mielőtt [14](ti. a tanács) [15]fenn *(a Pnyx oldalában, ahol a népgyűlést tartották)* [16]mihelyt [17]a nekik jelentetteket; „a híreket" [18]kikiáltó [19]οὐδὲν μᾶλλον mégsem [20](+ gen.) érdekében [21]ἦν ... φωνήν amely hangot [22]jogosan, méltán

Tagolja a szöveget, és tegye ki a hangsúlyjeleket!

ΕΥΡΥΔΑΜΑΣΟΚΥΡΗΝΑΙ
ΟΣΠΥΓΜΗΝΕΝΙΚΗ
ΣΕΝΕΚΚΡΟΥΣΘΕ
ΙΣΜΕΝΥΠΟΤΟΥΑΝΤΑΓΩΝΙΣΤΟΥ
ΤΟΥΣΟΔΟΝΤΑΣΚΑΤΑΠΙΩΝΔΕΑΥΤ
ΟΥΣΙΝΑΜΗΑΙΣΘΗΤΑΙΟΑΝΤΙΠΑΛΟΣ

55 Μόνος βαδίζων – Magamban bandukolva

Gyilkossági kísérletnek minősülő súlyos testi sértésekben az Areiospagos ítélkezett. A tényállást a vádlott általában elismerte, de azt állította, hogy tettét hirtelen felindulásában követte el, vagyis a szándék hiányát emelte ki. Ez akkor válhat meggyőzővé, ha bizonyítani tudja, hogy az erőszakos cselekmény kezdeményezője a sértett volt. A sértett ezért a védőbeszédekben mindig pökhendi és erőszakos, mint az alábbiakban is: A két fél ugyanabba a fiúba szeretett bele, a fiú a vádlott szerelmese lett. A másik férfi ebbe nem tudott belenyugodni, s egy éjjel barátaival rátört vetélytársa házára. Nem találták otthon, így másutt kezdték keresni; amikor rátaláltak, összeverekedtek. A hasonló támadásokat elkerülendő a vádlott a fiúval együtt elhagyta a várost. Ám amint visszatértek, ismét megpróbálták elragadni tőle a fiút.

Μετὰ δὲ ταῦτα τὸ μὲν μειράκιον[1] εἰς γναφεῖον[2] κατέφυγεν, οὗτοι[3] δὲ συνεισπεσόντες ἦγον αὐτὸν βίᾳ[4], βοῶντα καὶ κεκραγότα[5] καὶ μαρτυρόμενον. συνδραμόντων δὲ ἀνθρώπων πολλῶν καὶ ἀγανακτούντων τῷ πράγματι καὶ δεινὰ φασκόντων εἶναι τὰ γιγνόμενα[6], τῶν μὲν λεγομένων οὐδὲν ἐφρόντιζον, Μόλωνα δὲ τὸν γναφέα[7] καὶ ἄλλους τινὰς ἐπαμύνειν ἐπιχειροῦντας συνέκοψαν. ἤδη δὲ αὐτοῖς οὖσι παρὰ[8] τὴν Λάμπωνος οἰκίαν ἐγὼ μόνος βαδίζων ἐντυχάνω[9], δεινὸν δὲ ἡγησάμενος εἶναι καὶ αἰσχρὸν[10] περιδεῖν οὕτως ἀνόμως[11] καὶ βιαίως[12] ὑβρισθέντα τὸν νεανίσκον, ἐπιλαμβάνομαι αὐτοῦ. οὗτοι δέ, δι' ὅ τι[13] μὲν τοιαῦτα παρενόμουν εἰς ἐκεῖνον, οὐκ ἠθέλησαν εἰπεῖν ἐρωτηθέντες, ἀφέμενοι δὲ τοῦ νεανίσκου ἔτυπτον ἐμέ. μάχης δὲ γενομένης, ὦ βουλή, καὶ τοῦ μειρακίου βάλλοντος[14] αὐτοὺς κἀμοῦ περὶ τοῦ σώματος ἀμυνομένου καὶ τούτων ἡμᾶς βαλλόντων, ἔτι δὲ τυπτόντων αὐτὸν ὑπὸ τῆς μέθης[15] κἀκείνου ἀμυνομένου, καὶ τῶν παραγενομένων ὡς[16] ἀδικουμένοις ἡμῖν ἁπάντων ἐπικουρούντων, ἐν τούτῳ τῷ θορύβῳ[17] συντριβόμεθα τὰς κεφαλὰς ἅπαντες.

[1]τὸ μειράκιον ifjú, „fiúka" [2]ványolóműhely [3](ti. a vádló és cimborái) [4]erőszakkal [5]κεκραγώς 3 rikoltozó [6]az eset(et) [7]ὁ γναφεύς ványoló [8]-nál, -nél [9]αὐτοῖς ... ἐντυχάνω szembetalálkozom velük [10]αἰσχρός 3 rút [11]törvénytelenül [12]erőszakkal [13]διὰ ὅ τι miért [14]βάλλει kövekkel dobál [15]ὑπὸ τῆς μέθης részegségükben [16]mint [17]ὁ θόρυβος kavarodás, zűrzavar

Minden mondatban van egy fölösleges szó. Ha a mondatokba nem illő szavakat összeolvassa, egy mondatot kap, melyet Xenophón ad Sókratés szájába.

1. Ὁ πατὴρ ὁ ἐπιμελούμενος ὅπως ἀνὴρ ἀγαθὸς γενοίμην ἠνάγκασέ με πάντα τὰ Ὁμήρου ἔπη ἀγαθὴ μαθεῖν· καὶ νῦν δυναίμην ἂν Ἰλιάδα ὅλην καὶ Ὀδύσσειαν ἀπὸ στόματος εἰπεῖν.
2. Εἰπέ μοι, ὦ γύναι, ἆρα ἤδη κατενόησας ἐστιν τίνος ποτὲ ἕνεκα ἐγώ τε σὲ ἔλαβον καὶ οἱ σοὶ γονεῖς ἔδοσάν σε ἐμοί;
3. Αἰνείας δὲ σώσας μὲν τοὺς πατρῴους καὶ μητρῴους θεούς, σώσας δὲ καὶ αὐτὸν τὸν πατέρα ἡμέρᾳ, δόξαν εὐσεβείας ἐξηνέγκατο, ὥστε καὶ οἱ πολέμιοι μόνῳ ἐκείνῳ ὧν ἐκράτησαν ἐν Τροίᾳ ἔδοσαν μὴ συληθῆναι.
4. Ἐγὼ μὲν τοῦτο ἀεί ποτε νομίζω, ὡς ὁποῖοί τινες ἂν οἱ προστάται ὦσι, τοιαύτας καὶ τὰς πολιτείας γίγνεσθαι.
5. Πρὸς ταῦτα εἶπεν ὁ Σιμωνίδης· Ἀλλὰ ταῦτα μὲν πάνυ ἔμοιγε μικρὰ δοκεῖ ἀρετῆς εἶναι ἃ σὺ λέγεις.
6. ὁπότε δὲ ψεγόντων ἢ ἐπαινούντων τινὰς ἀκούοι, οὐχ ἧττον ᾠετο καταμανθάνειν ἄρχεσθαι τοὺς τῶν λεγόντων τρόπους ἢ περὶ ὧν λέγοιεν.

56 Εἰ ἔγημεν ἀστήν – Ha polgárnőt vett volna el

Egy athéni régi ellensége asszonyát állította bíróság elé: idegen nő létére egy athénival együtt élve bitorolja a polgárjogot. Bűnét még tetézte azzal, hogy lányát szintén be akarta csempészni a polgárok közé, hozzáadva egy polgárhoz. A vád közvád volt, hisz a polgárjoggal bírók féltékenyen vigyázták kiváltságaikat. A per súlyát jelzi a büntetés nagysága: a vádlottat, ha elítélték, eladták, a férj pedig akár a polgárjogát is elveszíthette. A vádló kíméletlenül tárja föl az idős nő múltját. Állítása szerint az nemcsak hogy nem athéni, de egyenesen rabszolga volt, majd független hetéraként szinte egész Hellasszal kapcsolatba került, míg végül „feleség" lett Athénban. A szónok a hetéra feslettségét a tisztes polgárnő erényével állítja szembe, jól tudva, mit tart az ötszázegy athéni férfi a női nemről.

Τὸ γὰρ συνοικεῖν τοῦτ' ἔστιν, ὃς ἂν[1] παιδοποιῆται καὶ εἰσάγῃ εἴς τε τοὺς φράτερας[2] καὶ δημότας[3] τοὺς υἱεῖς, καὶ τὰς θυγατέρας ἐκδιδῷ[4] ὡς αὐτοῦ οὔσας[5] τοῖς ἀνδράσιν. τὰς μὲν γὰρ ἑταίρας ἡδονῆς[6] ἕνεκ[7] ἔχομεν, τὰς δὲ παλλακὰς τῆς καθ' ἡμέραν[8] θεραπείας τοῦ σώματος, τὰς δὲ γυναῖκας τοῦ παιδοποιεῖσθαι γνησίως[9] καὶ τῶν ἔνδον[10] φύλακα[11] πιστὴν[12] ἔχειν. ὥστ'[13] εἰ πρότερον ἔγημεν γυναῖκα ἀστὴν καὶ εἰσὶν οὗτοι οἱ παῖδες ἐξ ἐκείνης καὶ μὴ Νεαίρας, ἐξῆν[14] αὐτῷ ἐκ τῆς ἀκριβεστάτης μαρτυρίας[15] ἐπιδεῖξαι, παραδόντι τὰς θεραπαίνας ταύτας. ὡς δὲ προὐκαλεσάμην, τούτων[16] ὑμῖν τήν τε μαρτυρίαν καὶ τὴν πρόκλησιν[17] ἀναγνώσεται. λέγε τὴν μαρτυρίαν, ἔπειτα τὴν πρόκλησιν.

[1]ὃς ἄν (+ coni.) ha valaki [2]ὁ φράτηρ a phratra *(a phylénél kisebb közig. egység)* tagja [3]ὁ δημότης a démos *(közig. egység)* tagja [4]ἐκδιδῷ kiházasítja [5]ὡς αὐτοῦ οὔσας *(lányait)* övéinek elismertként [6]ἡ ἡδονή gyönyör [7]ἕνεκα (+ gen.) [8]καθ' ἡμέραν mindennap(i) [9]törvényesen [10]τὰ ἔνδον „háztartás" [11]ὁ (ἡ) φύλαξ őr [12]πιστός hű, megbízható [13]következésképp [14]lehetősége (lett) volna [15]*utalás a kínvallatásra* [16]„az ezt bizonyító" [17]ἡ πρόκλησις felszólítás

Melyik szó illik a mondatba?

1. Καὶ εἰ μὴ ὑμεῖς ἤλθετε, ἐπορευόμεθα ἂν ἐπὶ (βασιλέα – βασιλέως – βασιλεῖ).
2. Ἡ πηγὴ ὑπὸ (τοῦ – τῆς) πλατάνου ῥεῖ μάλα ψυχροῦ ὕδατος.
3. Καὶ στήλη ἕστηκε παρὰ τὸν ναὸν γράμματα ἔχουσα· Ἱερὸς ὁ χῶρος (ὁ – τῆς) Ἀρτέμιδος.
4. Πολλὰ τῶν ὑποζυγίων (ἀπώλετο – ἀπώλοντο) ὑπὸ λιμοῦ.
5. Οἱ δὲ στρατιῶται ἐχαλέπαινον τοῖς στρατηγοῖς, καὶ ἔφασαν αὐτοὺς πάλαι ταῦτ' εἰδότας (κρύπτειν – κρύψειν – κρύψαι), καὶ οὐκ ἔφασαν ἰέναι, ἐὰν μή τις αὐτοῖς χρήματα διδῷ.
6. Εἰ δὲ τοῦτο πάντες (ποιοῦμεν – ἐποιοῦμεν), ἅπαντες ἂν ἀπωλόμεθα.
7. Ἔλεγον δέ, ὅτι ἥκοιεν ἡγεμόνας ἔχοντες οἳ αὐτούς, ἐὰν σπονδαὶ γένωνται, (ἄγουσιν – ἄξουσιν – ἄξοντες) ἔνθεν ἕξουσι τὰ ἐπιτήδεια.

57 Εἰ νῆσον ᾤκουν – Ha szigeten laknának

Miután a perzsák elvonultak Hellasból, a szövetségesek hajóhada Pausanias vezetésével megtámadta Kyprost, és el is foglalta. De Pausanias erőszakos ember volt, ezért a szövetségesek az athéniakat kérték fel a vezetésre. Az athéniak ezt örömmel fogadták, és amikor a spártaiak hazahívták Pausaniast, átvették a vezetést. Meghatározták, hogy a szövetséges városok közül melyeknek kell hajókat, és melyeknek pénzt adni a barbár ellen. Az adót athéni hivatalnokok szedték be, akiket hellénotamiasoknak neveztek. A kincstár Déloson volt, és a gyűléseket is ott tartották. A szövetségesek eleinte önállóak voltak, később azonban az athéniak megerősödtek, és szövetségeseiket leigázva szolgáikká tették őket. Ez volt a feltétele és alapja a demokráciának, amelynek bírálói is akadtak.

Ἑνὸς δὲ ἐνδεεῖς[1] εἰσιν· εἰ γὰρ νῆσον οἰκοῦντες θαλασσοκράτορες[2] ἦσαν Ἀθηναῖοι, ὑπῆρχεν ἂν αὐτοῖς[3] ποιεῖν μὲν κακῶς, εἰ ἐβούλοντο, πάσχειν δὲ μηδέν[4], ἕως τῆς θαλάττης ἦρχον, μηδὲ τιμηθῆναι τὴν ἑαυτῶν γῆν μηδὲ προσδέχεσθαι τοὺς πολεμίους· νῦν δὲ οἱ γεωργοῦντες[5] καὶ οἱ πλούσιοι Ἀθηναίων ὑπέρχονται τοὺς πολεμίους μᾶλλον, ὁ δὲ δῆμος, ἅτε[6] εὖ εἰδὼς ὅτι οὐδὲν τῶν σφῶν[7] ἐμπρήσουσιν οὐδὲ τεμοῦσιν, ἀδεῶς[8] ζῇ καὶ οὐχ ὑπερχόμενος αὐτούς. πρὸς δὲ τούτοις καὶ ἑτέρου δέους[9] ἀπηλλαγμένοι[10] ἂν ἦσαν[11], εἰ νῆσον ᾤκουν, μηδέποτε προδοθῆναι τὴν πόλιν ὑπ' ὀλίγων μηδὲ πύλας[12] ἀνοιχθῆναι μηδὲ πολεμίους ἐπεισπεσεῖν· πῶς γὰρ νῆσον οἰκούντων ταῦτ' ἂν ἐγίγνετο; μηδ' αὖ[13] στασιάσαι τῷ δήμῳ μηδέν[14], εἰ νῆσον ᾤκουν· νῦν μὲν γὰρ εἰ στασιάσαιεν, ἐλπίδα ἂν ἔχοντες[15] ἐν τοῖς πολεμίοις στασιάσειαν, ὡς κατὰ γῆν[16] ἐπαξόμενοι· εἰ δὲ νῆσον ᾤκουν, καὶ ταῦτ' ἂν ἀδεῶς εἶχεν[17] αὐτοῖς. ἐπειδὴ οὖν ἐξ ἀρχῆς[18] οὐκ ἔτυχον οἰκήσαντες νῆσον[19], νῦν τάδε ποιοῦσι· τὴν μὲν οὐσίαν ταῖς νήσοις παρατίθενται, πιστεύοντες τῇ ἀρχῇ τῇ κατὰ θάλατταν[20], τὴν δὲ Ἀττικὴν γῆν περιορῶσι τεμνομένην, γιγνώσκοντες ὅτι εἰ αὐτὴν ἐλεήσουσιν, ἑτέρων ἀγαθῶν μειζόνων στερήσονται.

[1]ἐνδεής 2 ἐστι híjával van (+ gen.) [2]a tenger urai [3]ὑπῆρχεν ἂν αὐτοῖς lehetőségük volna [4]πάσχειν μηδέν „büntetlenül" [5]a földművesek [6]mivel [7]τὰ σφῶν az ő vagyonuk [8]félelem nélkül [9]τὸ δέος félelem [10]ἀπηλλαγμένος 3 megszabadult [11]ἂν ἦσαν volnának [12]αἱ πύλαι városkapu [13]μηδὲ αὖ és nem [14]μηδέν egy (réteg) sem [15]ἐλπίδα ἔχει ἐν (+ dat.) reménykedik vmiben [16]szárazföldön [17]ταῦτα ἂν ἀδεῶς εἶχε ez sem volna félelmes [18]kezdettől fogva [19]οὐκ ἔτυχον οἰκήσαντες νῆσον történetesen nem szigeten települtek meg [20]ἡ ἀρχὴ ἡ κατὰ θάλατταν uralom a tengeren

Tagolja a szöveget, és tegye ki a hangsúlyjeleket!

ΠΥΘΑΓΟΡΑΣΕΛΕΓΕΔΥΟΤΑ
ΥΤΑΕΚΤΩΝΘΕΩΝΤΟ
ΙΣΑΝΘΡΩΠΟΙΣΔΕΔΟΣΘΑ
ΙΚΑΛΛΙΣΤΑΤΟΤΕΑΛΗ
ΘΕΥΕΙΝΚΑΙΤΟ
ΕΥΕΡΓΕΤΕΙΝΚΑΙΠΡΟΣΕΤΙ
ΘΕΙΟΤΙΚΑΙΕΟΙΚΕΤΟΙΣΘΕΩΝ
ΕΡΓΟΙΣΕΚΑΤΕΡΟΝ

58 Ὥσπερ τὰ πρόβατα ἔθνῃσκον – Hullottak, mint a legyek

A peloponnésosi háború első évei úgy teltek, ahogyan azt Periklés előre látta: a spártaiak Archidamos király vezetésével betörtek Attikába, tönkretették a termést, kivágták az olajfákat, majd visszavonultak Lakedaimónba. Az athéniak nem ütköztek meg velük. A falusi lakosság értékeivel együtt a városba menekült, és a falak mögül figyelte a pusztítást, tehetetlenül és egyre dühösebben. Az elkeseredett athéniak visszahívták Periklést a stratégosi hivatalból, mert őt okolták birtokaik pusztulásáért. Periklés úgy gondolta, hogy az athéniak a háborút csak akkor nyerhetik meg, ha készleteikre támaszkodva és a tengert uralva kifárasztják ellenfeleiket, és nem akarnak hódítani. A terv jó volt, de a városba zsúfolódott tömeget járvány támadta meg, aminek Periklés is áldozatául esett.

Ἤρξατο δὲ τὸ μὲν πρῶτον, ὡς λέγεται[1], ἐξ Αἰθιοπίας τῆς ὑπὲρ[2] Αἰγύπτου, ἔπειτα δὲ καὶ ἐς Αἴγυπτον καὶ Λιβύην κατέβη καὶ ἐς τὴν βασιλέως γῆν τὴν πολλήν[3]. ἐς δὲ τὴν Ἀθηναίων πόλιν ἐξαπιναίως[4] ἐσέπεσε, καὶ τὸ πρῶτον ἐν τῷ Πειραιεῖ[5] ἥψατο τῶν ἀνθρώπων, ὥστε καὶ[6] ἐλέχθη ὑπ' αὐτῶν ὡς[7] οἱ Πελοποννήσιοι φάρμακα ἐσβεβλήκοιεν ἐς τὰ φρέατα[8]· κρῆναι[9] γὰρ οὔπω ἦσαν αὐτόθι. ὕστερον δὲ καὶ ἐς τὴν ἄνω πόλιν[10] ἀφίκετο, καὶ ἔθνῃσκον πολλῷ μᾶλλον ἤδη. λεγέτω[11] μὲν οὖν περὶ αὐτοῦ ὡς[12] ἕκαστος γιγνώσκει καὶ ἰατρὸς καὶ ἰδιώτης[13], ἀφ' ὅτου[14] εἰκὸς ἦν[15] γενέσθαι αὐτό, καὶ τὰς αἰτίας ἅστινας[16] νομίζει τοσαύτης μεταβολῆς ἱκανὰς εἶναι δύναμιν ἐς τὸ μεταστῆσαι[17] σχεῖν[18]· ἐγὼ δὲ οἷόν τε ἐγίγνετο λέξω, καὶ ἀφ' ὧν[19] ἄν τις σκοπῶν, εἴ ποτε καὶ αὖθις[20] ἐπιπέσοι, μάλιστ' ἂν ἔχοι τι προειδὼς μὴ ἀγνοεῖν, ταῦτα δηλώσω αὐτός τε νοσήσας καὶ αὐτὸς ἰδὼν ἄλλους πάσχοντας.

[1]mint mondják [2]ὑπέρ (+ gen.) túli [3]ἡ βασιλέως γῆ ἡ πολλή a perzsa birodalom jelentős része [4]váratlanul [5]ὁ Πειραιεύς *(Athén kikötője)* [6]ὥστε καί hogy azt is [7]ἐλέχθη ὑπὸ αὐτῶν ὡς vélték azt, hogy [8]τὸ φρέαρ kút; víztároló [9]ἡ κρήνη forrás [10]ἡ ἄνω πόλις a felső város = Athén [11]λεγέτω mondja el [12]ahogy [13]laikus [14]ἀπὸ ὅτου hogy mitől [15]εἰκός ἐστι valószínű [16]ἅστινας melyeket [17]τὸ μεταστῆσαι a megváltoztatás [18]δύναμιν ... σχεῖν erőre tettek szert [19]amiből [20]ismét

Poseidón Hermésszel beszélget, de Hermés válaszai összekeveredtek. (Poseidón mondatai helyes sorrendben vannak.) Rekonstruálja a párbeszédet!

ΠΟΣΕΙΔΩΝ	ΕΡΜΗΣ
Ἔστιν, ὦ Ἑρμῆ, νῦν ἐντυχεῖν τῷ Διί;	Οὐδὲ τοῦτο· ἀλλὰ μαλακῶς ἔχει αὐτός.
Ὅμως προσάγγειλον αὐτῷ.	Τέτοκεν ἀρτίως, ὦ Πόσειδον.
Μῶν τῇ Ἥρᾳ σύνεστιν;	Αἰσχύνομαι εἰπεῖν, τοιοῦτόν ἐστιν.
Συνίημι· ὁ Γανυμήδης ἔνδον.	Οὐδαμῶς, ὦ Πόσειδον.
Πόθεν, ὦ Ἑρμῆ; δεινὸν γὰρ τοῦτο φῄς.	Οὔκ, ἀλλ' ἑτεροῖόν τί ἐστιν.
Ἀλλὰ οὐ χρὴ πρὸς ἐμὲ θεῖόν γε ὄντα.	Μὴ ἐνόχλει, φημί· ἄκαιρον γάρ ἐστιν, ὥστε οὐκ ἂν ἴδοις αὐτὸν ἐν τῷ παρόντι.

59 Ταῦτα ἄξιον ἀκοῦσαι – Ezt érdemes meghallgatni

Egy politikai per vádlottja védekezése során kitér egyik vádlója, Kallias visszás házasságaira is. A pörös felek előkelő athéniak, sőt házasság révén távoli rokonok is. A perpatvar tulajdonképpen egy gazdag örökösnő keze (és vagyona) miatt tört ki, aki szintén a családhoz tartozott. A vádlott maga akarta feleségül venni a lányt, Kallias pedig a fia számára szemelte ki az örökösnőt és a hozományt. A vádlott úgy igyekszik hatástalanítani a vád érveit, hogy rámutat: a vádló a haragosa. A közvád tehát csak ürügy, Kallias valódi célja az, hogy őt, zavaros üzelmei kerékkötőjét, félretolja az útból. Kallias a Κήρυκες papi nemzetségből származott, azaz pap volt, mégpedig Démétér és leánya, Persephoné papja. A vádlott szavaiból kiderül, hogy Kallias hamisan esküdött a két istennő oltáránál.

Γαμεῖ μὲν ᾽Ισχομάχου θυγατέρα· ταύτῃ δὲ συνοικήσας οὐδ᾽ ἐνιαυτὸν[1] τὴν μητέρα αὐτῆς ἔλαβε, καὶ συνῴκει ὁ πάντων σχετλιώτατος[2] ἀνθρώπων τῇ μητρὶ καὶ τῇ θυγατρί, ἱερεὺς[3] ὢν τῆς μητρὸς καὶ τῆς θυγατρός, καὶ εἶχεν ἐν τῇ οἰκίᾳ ἀμφοτέρας. Καὶ οὗτος μὲν οὐκ ᾐσχύνθη οὐδ᾽ ἔδεισε τὸ θεώ[4]· ἡ δὲ τοῦ ᾽Ισχομάχου θυγάτηρ τεθνάναι νομίσασα λυσιτελεῖν ἢ ζῆν ὁρῶσα τὰ γιγνόμενα[5], ἀπαγχομένη μεταξὺ[6] κατεκωλύθη[7], καὶ ἐπειδὴ ἀνεβίω, ἀποδρᾶσα ἐκ τῆς οἰκίας ᾤχετο, καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα. Ταύτης δ᾽ αὖ[8] διαπεπλησμένος[9] ἐξέβαλε καὶ ταύτην. ῾Η δ᾽ ἔφη κυεῖν ἐξ αὐτοῦ· καὶ ἐπειδὴ ἔτεκεν υἱόν, ἔξαρνος ἦν[10] μὴ εἶναι ἐξ αὐτοῦ τὸ παιδίον. Λαβόντες δὲ οἱ προσήκοντες[11] τῇ γυναικὶ τὸ παιδίον ἦκον ἐπὶ[12] τὸν βωμὸν ᾽Απατουρίοις[13], ἔχοντες ἱερεῖον[14], καὶ ἐκέλευον κατάρξασθαι τὸν Καλλίαν. ῾Ο δ᾽ ἠρώτα τίνος εἴη τὸ παιδίον· ἔλεγον Καλλίου τοῦ ῾Ιππονίκου. ᾽Εγώ εἰμι οὗτος. Καὶ ἔστι γε σὸν[15] τὸ παιδίον. Λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἢ μὴν μὴ εἶναί οἱ υἱὸν ἄλλον μηδὲ γενέσθαι πώποτε, εἰ μὴ[16] ῾Ιππόνικον ἐκ τῆς Γλαύκωνος θυγατρός· ἢ ἐξώλη[17] εἶναι[18] καὶ αὐτὸν καὶ τὴν οἰκίαν, ὥσπερ ἔσται[19] . Μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες, ὑστέρῳ πάλιν χρόνῳ τῆς γραὸς τολμηροτάτης[20] γυναικὸς ἀνηράσθη, καὶ κομίζεται αὐτὴν εἰς τὴν οἰκίαν, καὶ τὸν παῖδα ἤδη μέγαν ὄντα εἰσάγει εἰς Κήρυκας, φάσκων εἶναι υἱὸν αὑτοῦ. ᾽Αντεῖπε μὲν Καλλιάδης μὴ εἰσδέξασθαι, ἐψηφίσαντο δὲ οἱ Κήρυκες κατὰ τὸν νόμον ὅς ἐστιν αὐτοῖς, τὸν πατέρα ὀμόσαντα εἰσάγειν ἢ μὴν[21] υἱὸν ὄντα ἑαυτοῦ εἰσάγειν. Λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἢ μὴν τὸν παῖδα ἑαυτοῦ εἶναι γνήσιον[22], ἐκ Χρυσίλλης γεγονότα· ὃν ἀπώμοσε[23]. Καί μοι τούτων ἁπάντων τοὺς μάρτυρας κάλει. Φέρε δὴ τοίνυν, ὦ ἄνδρες, σκεψώμεθα εἰ πώποτε ἐν τοῖς ῞Ελλησι πρᾶγμα τοιοῦτον ἐγένετο, ὅπου γυναῖκά τις γήμας ἐπέγημε τῇ θυγατρὶ τὴν μητέρα καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα· ταύτῃ δὲ συνοικῶν βούλεται τὴν ᾽Επιλύκου θυγατέρα λαβεῖν, ἵν᾽ ἐξελάσῃ τὴν τήθην[24] ἡ θυγατριδῆ[25]. ᾽Αλλὰ γὰρ τῷ παιδὶ αὐτοῦ τί χρὴ τοὔνομα θέσθαι; οἶμαι γὰρ ἔγωγε οὐδένα οὕτως ἀγαθὸν εἶναι λογίζεσθαι, ὅστις ἐξευρήσει τοὔνομα αὐτοῦ. Τριῶν γὰρ οὐσῶν γυναικῶν αἷς συνῳκηκὼς ἔσται ὁ πατὴρ αὐτοῦ, τῆς μὲν υἱός ἐστιν, ὥς φησι, τῆς δὲ ἀδελφός, τῆς δὲ θεῖος[26]. Τίς ἂν εἴη οὗτος; Οἰδίπους, ἢ Αἴγισθος; ἢ τί χρὴ αὐτὸν ὀνομάσαι;

[1]ἐνιαυτόν egy évig [2]σχέτλιος 3 becstelen [3]pap [4]τὸ θεώ (dualis) [5]„helyzetet" [6]közben [7]*(azaz már a kötélről vágták le)* [8]αὖ ugyancsak [9]„ráunva" (+ gen.) [10]ἔξαρνος ἐστι μή tagadja, hogy [11]οἱ προσήκοντες (+ gen. vagy dat.) rokonai vkinek [12]ἐπὶ -hoz [13]τὰ ᾽Απατούρια Apaturia *(az ünnep 3. napján jegyezték be a törvényes újszülötteket a közösség tagjai sorába)* [14]τὸ ἱερεῖον áldozati állat [15]ἔστι γε σόν bizony a tiéd [16]ἢ μήν μή εἶναί οἱ ... εἰ μή hogy neki nincs ... csak [17]ἐξώλης 2 tönkretett [18]vagy pusztuljon el [19]„és így is lesz" *(a beszélő teszi hozzá Kallias esküjéhez)* [20]τολμηρός 3 vakmerő [21]ὀμόσας 3 ἢ μήν ha/miután megesküdött, hogy [22]γνήσιος 3 törvényes [23]akit (egyszer már) esküvel megtagadott [24]ἡ τήθη nagyanyó [25]leányunoka [26]ὁ θεῖος nagybácsi

60 ῾Ο ῞Ερως – A szerelem

A tragédiaköltő Agathón győzelmet aratott a tragédiaversenyen, és elsőségét megünnepelendő symposionra hívta barátait. Igen díszes kompánia jelent meg az Agathón symposionán; a végét még a másutt már berúgott Alkibiadés is elcsípte. A symposion tulajdonképpen egy tánccal és zenével, szellemes vagy kevéssé szellemes játékokkal, beszélgetéssel és testi örömökkel elmulatott este, társaságban, bor mellett. Ezt a bizonyos estét Platón írta meg, s dialógusában az összegyűltek komoly dologról beszélgetnek: Erósról. Több vélemény hangzik el a Szerelem mibenlétéről, és a vendégsereget asztal alá ivó Sókratés is elmondja Platón gondolatait az istenről. Platón *Symposion*ja a műfaj legjobb darabja; a symposionok leírása ugyanis önálló műfajjá, a dialógus egyik ágává nőtte ki magát.

Οὗτοι δὴ οἱ δαίμονες πολλοὶ καὶ παντοδαποί[1] εἰσιν, εἷς δὲ τούτων ἐστὶ καὶ ὁ ῞Ερως. Πατρὸς δέ, ἦν δ' ἐγώ[2], τίνος ἐστὶ καὶ μητρός; Μακρότερον[3] μέν, ἔφη, διηγήσασθαι· ὅμως δέ σοι ἐρῶ. ὅτε γὰρ ἐγένετο ἡ ᾿Αφροδίτη, ἡστιῶντο οἵ τε θεοὶ οἵ τε ἄλλοι καὶ ὁ τῆς Μήτιδος[4] ὑὸς Πόρος[5]. ἐπειδὴ δὲ ἐδείπνησαν, προσαιτήσουσα[6] οἷον[7] δὴ εὐωχίας[8] οὔσης ἀφίκετο ἡ Πενία[9], καὶ ἦν περὶ τὰς θύρας[10]. ὁ οὖν Πόρος μεθυσθεὶς τοῦ νέκταρος – οἶνος[11] γὰρ οὔπω ἦν – εἰς τὸν τοῦ Διὸς κῆπον[12] εἰσελθὼν βεβαρημένος ηὗδεν. ἡ οὖν Πενία ἐπιβουλεύουσα διὰ τὴν αὑτῆς ἀπορίαν[13] παιδίον ποιήσασθαι ἐκ τοῦ Πόρου, κατακλίνεταί τε παρ' αὐτῷ[14] καὶ ἐκύησε τὸν ῞Ερωτα. διὸ δὴ[15] καὶ τῆς ᾿Αφροδίτης ἀκόλουθος[16] καὶ θεράπων[17] γέγονεν ὁ ῞Ερως, γεννηθεὶς ἐν τοῖς ἐκείνης γενεθλίοις[18], καὶ ἅμα φύσει[19] ἐραστὴς[20] ὢν περὶ τὸ καλὸν καὶ τῆς ᾿Αφροδίτης καλῆς οὔσης. ἅτε οὖν Πόρου καὶ Πενίας ὑὸς ὢν ὁ ῞Ερως ἐν τοιαύτῃ τύχῃ[21] καθέστηκεν. πρῶτον μὲν πένης[22] ἀεί ἐστι, καὶ πολλοῦ δεῖ[23] ἁπαλός[24] τε καὶ καλός, οἷον[25] οἱ πολλοὶ[26] οἴονται, ἀλλὰ σκληρὸς[27] καὶ αὐχμηρὸς[28] καὶ ἀνυπόδητος[29] καὶ ἄοικος[30], χαμαιπετὴς[31] ἀεὶ ὢν καὶ ἄστρωτος[32] , ἐπὶ θύραις[33] καὶ ἐν ὁδοῖς ὑπαίθριος[34] κοιμώμενος, τὴν τῆς μητρὸς φύσιν[35] ἔχων, ἀεὶ ἐνδείᾳ[36] σύνοικος[37]. κατὰ δὲ αὖ τὸν πατέρα ἐπίβουλός[38] ἐστι τοῖς καλοῖς καὶ τοῖς ἀγαθοῖς, ἀνδρεῖος[39] ὢν καὶ ἴτης[40] καὶ σύντονος[41], θηρευτὴς[42] δεινός, ἀεί τινας πλέκων μηχανάς[43], καὶ φρονήσεως[44] ἐπιθυμητὴς[45] καὶ πόριμος[46], φιλοσοφῶν διὰ[47] παντὸς τοῦ βίου, δεινὸς γόης[48] καὶ φαρμακεὺς[49] καὶ σοφιστής[50]· καὶ οὔτε ὡς ἀθάνατος πέφυκεν οὔτε ὡς θνητός, ἀλλὰ τοτὲ[51] μὲν τῆς αὐτῆς ἡμέρας[52] θάλλει τε καὶ ζῇ, ὅταν εὐπορήσῃ, τοτὲ δὲ ἀποθνήσκει, πάλιν δὲ ἀναβιώσκεται διὰ τὴν τοῦ πατρὸς φύσιν, τὸ δὲ πoριζόμενον[53] ἀεὶ ὑπεκρεῖ, ὥστε[54] οὔτε ἀπορεῖ ῞Ερως ποτὲ οὔτε πλουτεῖ, σοφίας τε αὖ καὶ ἀμαθίας[55] ἐν μέσῳ ἐστίν.

[1]παντοδαπός 3 sokféle [2]ἦν δ' ἐγώ „kérdeztem" [3]„hosszas" [4]ἡ Μῆτις Métis (= Okosság) [5]Poros (= Fortély) [6]προσαιτήσουσα hogy kolduljon [7]minthogy [8]ἡ εὐωχία vendégség [9]Penia (= Nyomor) [10]az ajtónál [11]bor [12]ὁ κῆπος kert [13]ἡ ἀπορία szorultság [14]mellé [15]διὸ δή ezért aztán [16]ἀκόλουθος 2 kísérő [17]θεράπων 2 társ [18]τὰ γενέθλια születésnapi ünnep [19]ἅμα φύσει ösztönösen [20]ὁ ἐραστής περί τι szerelmese vminek [21]ἡ τύχη végzet, sors [22]szegény [23]πολλοῦ δεῖ „korántsem" [24]zsenge; gyöngéd [25]ahogy [26]a tömeg [27]kegyetlen [28]mosdatlan [29]sarutlan [30]otthontalan [31]a földön háló [32]takaró nélkül [33]a kapu(k) előtt [34]a szabad ég alatt(i) [35]ἡ φύσις természet [36]ἡ ἔνδεια ínség [37](+ dat.) együtt élő [38](+ dat.) ármányos (vkivel szemben) [39]bátor [40]elszánt [41]tettrekész [42]vadász [43]ἡ μηχανή fondorlat [44]ἡ φρόνησις megfontoltság [45]ὁ ἐπιθυμητής (+ gen.) vágyakozó [46]találékony [47]folyamán [48]ὁ γόης, ητος szemfényvesztő [49]méregkeverő [50]ὁ σοφιστής szócsavaró [51]τοτὲ μέν ... τοτὲ δέ egyszer ... máskor [52]ugyanaznap [53]τὸ πoριζόμενον szerzemény [54]úgyhogy [55]ἡ ἀμαθία tudatlanság

61 Πρῶτος ἦν τῶν πολιτῶν – Az első polgár

Az athéni Kimón Miltiadés fia volt. Miltiadés a marathóni csata után hajóhadat kért az athéniaktól azt ígérve, hogy a kiadások busásan megtérülnek majd. A hajókkal a parosiak megbüntetésére indult, mert azok segítették a perzsákat. Mivel Paros városát hosszú ostrommal sem tudta bevenni, az athéniak bíróság elé állították árulásért, és mert becsapta a népet. Ötven talantonra büntették, amit nem tudott kifizetni. Miltiadés, a marathóni győztes az adósok börtönében belehalt Paroson szerzett sebeibe. Kimón az apjától örökölt adósságot csak úgy tudta kifizetni, hogy testvérét, Elpinikét hozomány nélkül elvette a dúsgazdag Kallias. Kimón stratégosként számos hadjáratot vezetett a szigetek és a perzsák ellen, nagy győzelmeket aratott, meggazdagodott, és a város első polgára lett.

Κίμων ὁ Ἀθηναῖος ἐν τοῖς ἀγροῖς[1] καὶ τοῖς κήποις οὐδένα τοῦ καρποῦ καθίστα φύλακα[2], ὅπως οἱ βουλόμενοι[3] τῶν πολιτῶν εἰσιόντες ὀπωρίζωνται καὶ λαμβάνωσιν εἴ τινος δέοιντο τῶν[4] ἐν τοῖς χωρίοις[5]. ἔπειτα τὴν οἰκίαν[6] παρεῖχε κοινὴν ἅπασι· καὶ δεῖπνον αἰεὶ εὐτελὲς[7] παρασκευάζεσθαι πολλοῖς ἀνθρώποις, καὶ τοὺς ἀπόρους[8] τῶν Ἀθηναίων εἰσιόντας δειπνεῖν. ἐθεράπευεν δὲ καὶ τοὺς καθ' ἑκάστην ἡμέραν[9] αὐτοῦ[10] τι δεομένους, καὶ λέγουσιν ὡς περιήγετο μὲν ἀεὶ νεανίσκους δύ' ἢ τρεῖς[11] ἔχοντας κέρματα[12] τούτοις τε διδόναι προσέταττεν, ὁπότε τις[13] προσέλθοι αὐτοῦ δεόμενος[14]. καί φασι μὲν αὐτὸν καὶ εἰς ταφὴν[15] εἰσφέρειν. ποιεῖν δὲ καὶ τοῦτο πολλάκις, ὁπότε τῶν πολιτῶν τινα ἴδοι κακῶς ἠμφιεσμένον[16], κελεύειν αὐτῷ μεταμφιέννυσθαι τῶν νεανίσκων τινα τῶν συνακολουθούντων αὐτῷ[17]. ἐκ[18] δὴ τούτων ἁπάντων ηὐδοκίμει καὶ πρῶτος ἦν τῶν πολιτῶν.

[1]ὁ ἀγρός föld(birtok) [2]ὁ φύλαξ őr, „csősz" [3]οἱ βουλόμενοι aki csak akar [4]τὰ ἐν τοῖς χωρίοις termés [5]τὸ χωρίον birtok [6]ἡ οἰκία ház(tartás) [7]εὐτελής 2 olcsó; „szerény" [8]ἄπορος 2 megszorult [9]mindennap [10]tőle [11]νεανίσκους δύο ἢ τρεῖς két-három ifjút [12]τὸ κέρμα aprópénz [13]ὁπότε τις amikor csak valaki [14]αὐτοῦ δεόμενος tőle kérő [15]ἡ ταφή temetés(i költség) [16]κακῶς ἠμφιεσμένος 3 „rongyos" [17]οἱ νεανίσκοι οἱ συνακολουθοῦντες αὐτῷ a kíséretét alkotó ifjak [18]miatt

Illessze az igéket *a megfelelő alakban* a szövegbe!

χράομαι – φημί – ζητέω – δύναμαι – εἰμί – ἀναβαίνω

Περὶ δὲ τῆς ἐμῆς ἱππικῆς, ἧς οὗτος ἐτόλμησε μνησθῆναι πρὸς ὑμᾶς, οὔτε τὴν τύχην δείσας οὔτε ὑμᾶς αἰσχυνθείς, οὐ πολὺς ὁ λόγος. εἰκὸς γάρ, ὦ βουλή, πάντας τοὺς ἔχοντάς τι δυστύχημα τοῦτο ... καὶ τοῦτο φιλοσοφεῖν, ὅπως ὡς ἀλυπότατα μεταχειριοῦνται τὸ συμβεβηκὸς πάθος. ὧν εἷς ἐγώ, καὶ περιπεπτωκὼς τοιαύτῃ συμφορᾷ ταύτην ἐμαυτῷ ῥᾳστώνην ἐξηῦρον εἰς τὰς ὁδοὺς τὰς μακροτέρας τῶν ἀναγκαίων. ὃ δὲ μέγιστον, ὦ βουλή, τεκμήριον ὅτι διὰ τὴν συμφορὰν ἀλλ' οὐ διὰ τὴν ὕβριν, ὡς οὗτός ..., ἐπὶ τοὺς ἵππους ἀναβαίνω. εἰ γὰρ ἐκεκτήμην οὐσίαν, ἐπ' ἀστράβης ἂν ὠχούμην, ἀλλ' οὐκ ἐπὶ τοὺς ἀλλοτρίους ἵππους ...· νυνὶ δ' ἐπειδὴ τοιοῦτον οὐ ... κτήσασθαι, τοῖς ἀλλοτρίοις ἵπποις ἀναγκάζομαι ... πολλάκις. καίτοι πῶς οὐκ ἄτοπόν ἐστιν, ὦ βουλή, τοῦτον ἄν, εἰ μὲν ἐπ' ἀστράβης ὀχούμενον ἑώρα με, σιωπᾶν (τί γὰρ ἂν καὶ ἔλεγεν;), ὅτι δ' ἐπὶ τοὺς ἠτημένους ἵππους ἀναβαίνω, πειρᾶσθαι πείθειν ὑμᾶς ὡς δυνατός ...; καὶ ὅτι μὲν δυοῖν βακτηρίαιν χρῶμαι, τῶν ἄλλων μιᾷ χρωμένων, μὴ κατηγορεῖν ὡς καὶ τοῦτο τῶν δυναμένων ἐστίν· ὅτι δ' ἐπὶ τοὺς ἵππους ἀναβαίνω, τεκμηρίῳ χρῆσθαι πρὸς ὑμᾶς ὅς εἰμι τῶν δυναμένων; οἷς ἐγὼ διὰ τὴν αὐτὴν αἰτίαν ἀμφοτέροις χρῶμαι.

62 Τὸ μέτριον ἄριστον – Keresd az egyensúlyt!

Az ember Aristotelés szerint πολιτικὸν ζῷον, közösségalkotó élőlény. Az embernek tehát közösségben lehet és kell élnie, hiszen csak így képes elérni az emberi élet célját, a boldog életet. A közösségnek viszont biztosítania kell azokat a feltételeket, amelyek ahhoz szükségesek, hogy a közösséget alkotók az erény szerint élhessenek, azaz boldogok lehessenek. Az erény pedig mindenben a szélsőségektől való mentesség, a közép; így a bátorság például a vakmerőség és a gyávaság közötti közép. A közösségek életét szabályozó alkotmányok is aszerint ítélhetők meg, hogy mennyire biztosítják polgáraik számára az erényes élet lehetőségét. A legjobb államforma az, amelyben a legtöbb ember boldog, vagyis ahol a legtöbb ember tud az erényt gyakorolva élni.

῾Η γὰρ πολιτεία[1] βίος[2] τίς ἐστι πόλεως. ἐν ἁπάσαις δὴ[3] ταῖς πόλεσιν ἔστι τρία μέρη[4] τῆς πόλεως, οἱ μὲν εὔποροι[5] σφόδρα, οἱ δὲ ἄποροι σφόδρα[6], οἱ δὲ τρίτοι[7] οἱ μέσοι τούτων. ἐπεὶ τοίνυν ὁμολογεῖται τὸ μέτριον[8] ἄριστον[9] καὶ τὸ μέσον[10], φανερὸν ὅτι[11] καὶ τῶν εὐτυχημάτων[12] ἡ κτῆσις[13] ἡ μέση βελτίστη πάντων. ῥᾴστη[14] γὰρ τῷ λόγῳ πειθαρχεῖν, ὑπέρκαλον[15] δὲ ἢ ὑπερίσχυρον[16] ἢ ὑπερευγενῆ[17] ἢ ὑπερπλούσιον[18] ὄντα, ἢ τἀναντία τούτοις, ὑπέρπτωχον[19] ἢ ὑπερασθενῆ[20] ἢ σφόδρα ἄτιμον[21], χαλεπὸν τῷ λόγῳ ἀκολουθεῖν· γίγνονται γὰρ οἱ μὲν ὑβρισταὶ[22] καὶ μεγαλοπόνηροι[23] μᾶλλον, οἱ δὲ κακοῦργοι[24] καὶ μικροπόνηροι[25] λίαν[26], τῶν δ' ἀδικημάτων τὰ μὲν γίγνεται δι' ὕβριν[27] τὰ δὲ διὰ κακουργίαν[28]. Βούλεται δέ γε ἡ πόλις ἐξ ἴσων εἶναι καὶ ὁμοίων ὅτι μάλιστα[29], τοῦτο δ' ὑπάρχει μάλιστα[30] τοῖς μέσοις. ὥστ' ἀναγκαῖον[31] ἄριστα[32] πολιτεύεσθαι ταύτην τὴν πόλιν ἥ ἐστιν ἐξ ὧν φαμεν[33] φύσει[34] τὴν σύστασιν[35] εἶναι τῆς πόλεως. καὶ σῴζονται δ' ἐν ταῖς πόλεσιν οὗτοι μάλιστα τῶν πολιτῶν. οὔτε γὰρ αὐτοὶ τῶν ἀλλοτρίων, ὥσπερ οἱ πένητες, ἐπιθυμοῦσιν, οὔτε τῆς τούτων ἕτεροι, καθάπερ τῆς τῶν πλουσίων οἱ πένητες ἐπιθυμοῦσιν· καὶ διὰ τὸ μήτ' ἐπιβουλεύεσθαι μήτ' ἐπιβουλεύειν ἀκινδύνως[36] διάγουσιν.

[1]ἡ πολιτεία alkotmány [2]„életmód" [3]nos [4]τρία μέρη három rész [5]εὔπορος 2 gazdag [6]σφόδρα nagyon [7]τρίτος 3 harmadik [8]τὸ μέτριον a helyes mérték [9]ἄριστος 3 legjobb [10]τὸ μέσον a közép [11]φανερόν ὅτι nyilvánvaló, hogy [12]τὰ εὐτυχήματα vagyon [13]birtoklás [14]ῥᾴστος 3 legkönnyebb [15]ὑπέρκαλος 2 túl szép [16]ὑπερίσχυρος 2 túl erős [17]ὑπερευγενής 2 túl előkelő [18]ὑπερπλούσιος 2 túl gazdag [19]ὑπέρπτωχος 2 túl szegény [20]ὑπερασθενής 2 túl gyönge [21]ἄτιμος 2 meg nem becsült, megvetett [22]ὁ ὑβριστής önhitt [23]μεγαλοπόνηρος 2 *(kb.)* nagystílű gazember [24]κακοῦργος 2 ártó [25]μικροπόνηρος 2 *(kb.)* pitiáner bűnöző [26]túlontúl [27]ἡ ὕβρις hybris *(a mérték áthágása)* [28]ἡ κακουργία gonoszság [29]ὅτι μάλιστα lehetőség szerint [30]leginkább [31]ἀναγκαῖον szükségszerű [32]a legjobban [33]ἐξ ὧν φαμεν azokból, (amikről azt) mondjuk, (hogy) [34]a természetéből adódóan [35]ἡ σύστασις anyag, összetétel [36]veszély nélkül

Ki mondta?

1. ῾Ηλθον, εἶδον, ἐνίκησα.
2. Εὕρηκα.
3. Πάντων μέτρον ἄνθρωπός ἐστιν.
4. Πόλεμος πάντων μὲν πατήρ ἐστι, πάντων δὲ βασιλεύς.
5. ᾽Απόστηθι, ὦ ἄνθρωπε, τοῦ διαγράμματός μου.
6. Ποταμῷ γὰρ οὐκ ἔστιν ἐμβῆναι δὶς τῷ αὐτῷ.
7. Δός μοι ποῦ στῶ καὶ κινῶ τὴν γῆν.

63 Πολυτελὲς ἀνάλωμα ὁ χρόνος – Az idő drága kincs!

A peripatétikus Theophrastos a lesbosi Eresosból származott. Eredetileg Tyrtamosnak hívták, majd Aristotelés nevezte el tanítványát Theophrastosnak, mivel az nagyon gondosan választotta meg szavait. Aristotelésnek ugyanis valamennyi tanítványa ékesszóló volt, de mind közül Theophrastos volt a legjobb szónok. Filozófus volt és természettudós, aki egész életét a kutatásnak és a tanításnak szentelte. Ezért nem nősült meg soha, viszont írt egy könyvet a házasságról. Sokáig élt és sokat írt, műveinek többsége azonban elveszett. Aristotelés után Theophrastos lett a Peripatos vezetője. Sok tanítványa közül a leghíresebb a szónok Deinarchos, a komédiaköltő Menandros, valamint a mesteréhez hasonlóan sokoldalú phaléroni Démétrios. Legismertebb műve a *Kharaktéres*, azaz a *Jellemrajzok*.

῾Η μὲν οὖν ἀκαιρία[1] ἐστὶν ἐπίτευξις χρόνου[2] λυποῦσα τοὺς ἐντυγχάνοντας[3], ὁ δὲ ἄκαιρος[4] τοιοῦτός τις[5], οἷος ἀσχολουμένῳ προσελθὼν ἀνακοινοῦσθαι. καὶ πρὸς τὴν αὐτοῦ ἐρωμένην[6] κωμάζειν πυρέττουσαν. καὶ δίκην ὠφληκότα[7] ἐγγύης[8] προσελθὼν κελεῦσαι αὐτὸν ἀναδέξασθαι. καὶ μαρτυρήσων[9] παρεῖναι τοῦ πράγματος ἤδη κεκριμένου. καὶ κεκλημένος εἰς γάμους τοῦ γυναικείου γένους[10] κατηγορεῖν. καὶ ἐκ μακρᾶς ὁδοῦ ἥκοντα ἄρτι[11] παρακαλεῖν εἰς περίπατον[12]. δεινὸς δὲ καὶ προσάγειν ὠνητὴν[13] πλείω[14] διδόντα ἤδη πεπρακότι[15]. καὶ ἀκηκοότας[16] καὶ μεμαθηκότας[17] ἀνίστασθαι ἐξ ἀρχῆς[18] διδάσκων. καὶ προθύμως[19] δὲ ἐπιμεληθῆναι, ἃ[20] μὴ βούλεταί τις γενέσθαι, αἰσχύνεται δὲ ἀπείπασθαι. καὶ θύοντας καὶ ἀναλίσκοντας ἥκειν τόκον[21] ἀπαιτήσων[22]. καὶ μαστιγουμένου οἰκέτου[23] παρεστὼς[24] διηγεῖσθαι, ὅτι καὶ αὐτοῦ ποτε παῖς[25] οὕτως πληγὰς[26] λαβὼν ἀπήγξατο. καὶ παρὼν διαίτῃ[27] συγκρούειν, ἀμφοτέρων βουλομένων διαλύεσθαι. καὶ ὀρχησόμενος ἅψασθαι ἑτέρου μηδέπω μεθύοντος.

[1]ἡ ἀκαιρία tapintatlanság [2]ἡ ἐπίτευξις χρόνου az időpont eltalálása [3]a jelenlévőket [4]tapintatlan [5]olyasvalaki [6]ἡ αὐτοῦ ἐρωμένη a kedvese [7]δίκην ὠφληκώς 3 pervesztes [8]ἡ ἐγγύη kezesség; ὠφληκὼς δίκην ἐγγύης elmarasztalt kezes [9]hogy tanúskodjék [10]τὸ γυναικεῖον γένος női nem [11]tüstént [12]ὁ περίπατος séta [13]ὁ ὠνητής vevő [14](πλείονα) többet [15]πεπρακώς 3 aki túladott (a portékáján) [16]ἀκηκοώς 3 tájékozott [17]μεμαθηκώς 3 tanult; tudó [18]elölről [19]buzgón [20](azokkal), amiket [21]ὁ τόκος kamat [22]hogy behajtsa [23]ὁ οἰκέτης szolga [24]παρεστώς 3 ott lévő *(aki odaállt)* [25]ὁ/ἡ παῖς szolga [26]αἱ πληγαί verés [27]ἡ δίαιτα döntőbíráskodás, „békéltetés”

Illessze a névszókat *a megfelelő esetben* a megfelelő helyre!

ἥλιος – σῶμα – γῆ – φωνή – ἄνεμος – ὀρθός 3

῾Αντὶ μέντοι τοῦ ὕδατος ἐν ταῖς πυέλοις δρόσος θερμὴ ἔστιν. ἐσθῆτι δὲ χρῶνται ἀραχνίοις λεπτοῖς, πορφυροῖς. αὐτοὶ δὲ … μὲν οὐκ ἔχουσιν, ἀλλ᾽ ἀναφεῖς καὶ ἄσαρκοί εἰσιν, μορφὴν δὲ καὶ ἰδέαν μόνην ἐμφαίνουσιν, καὶ ἀσώματοι ὄντες ὅμως συνεστᾶσιν καὶ κινοῦνται καὶ φρονοῦσι καὶ … ἀφιᾶσιν, καὶ ὅλως ἔοικε γυμνή τις ἡ ψυχὴ αὐτῶν περιπολεῖν τὴν τοῦ σώματος ὁμοιότητα περικειμένη· εἰ γοῦν μὴ ἅψαιτό τις, οὐκ ἂν ἐξελέγξειε μὴ εἶναι σῶμα τὸ ὁρώμενον· εἰσὶ γὰρ ὥσπερ σκιαὶ …, οὐ μέλαιναι. γηράσκει δὲ οὐδείς, ἀλλ᾽ ἐφ᾽ ἧς ἂν ἡλικίας ἔλθῃ παραμένει. οὐ μὴν οὐδὲ νὺξ παρ᾽ αὐτοῖς γίνεται, οὐδὲ ἡμέρα πάνυ λαμπρά· καθάπερ δὲ τὸ λυκαυγὲς ἤδη πρὸς ἕω, μηδέπω ἀνατείλαντος …, τοιοῦτο φῶς ἐπέχει τὴν …. καὶ μέντοι καὶ ὥραν μίαν ἴσασιν τοῦ ἔτους· αἰεὶ γὰρ παρ᾽ αὐτοῖς ἔαρ ἐστὶ καὶ εἷς … πνεῖ παρ᾽ αὐτοῖς ὁ ζέφυρος.

64 Ὥσπερ οὐκ ἔχοντες ὃ πράττωμεν – Mintha nem lenne egyéb dolgunk

Polybios katona, politikus és történetíró volt. A pydnai csata után mint az acháj szövetség hadvezére Rómába került túszként. Ott vált történetíróvá. Mint minden nagy történetírónak, neki is megvan a maga témája: hogyan lett és miért lehetett Róma rövid idő alatt az oikumené ura? Története egyetemes, mégis oknyomozó. A *Historiai* alaptónusa a tanító hang, amihez egyszerű stílus illik. A mű gyakorlati politikára oktat, s arra, hogy a Sors csapásait belső tartással kell megélni. A történelmet a Sors határozza meg, a kitágult világban az egyén hatóköre beszűkült. Az ifjabb Scipio barátjaként alkalma nyílt bejárni és megismerni története színpadát, földrajzi kitérőivel pedig visszakanyarodott a történetírás egyik forrásához. A diplomata Polybios Hellas és Róma között közvetített, ha tudott.

῾Υπὲρ[1] δὲ τῶν ἐξ ᾽Αχαΐας[2] φυγάδων[3] ἐντευχθεὶς[4] διὰ Πολύβιον ὑπὸ Σκιπίωνος, ὡς πολὺς ἐν τῇ συγκλήτῳ[5] λόγος ἐγίνετο, τῶν μὲν διδόντων κάθοδον[6] αὐτοῖς, τῶν δ᾽ ἐνισταμένων, ἀναστὰς ὁ Κάτων «ὥσπερ οὐκ ἔχοντες» εἶπεν «ὃ πράττωμεν, καθήμεθα τὴν ἡμέραν ὅλην περὶ γεροντίων[7] Γραικῶν[8] ζητοῦντες, πότερον ὑπὸ τῶν παρ᾽ ἡμῖν[9] ἢ[10] τῶν ἐν ᾽Αχαΐᾳ νεκροφόρων[11] ἐκκομισθῶσι.» ψηφισθείσης δὲ τῆς καθόδου τοῖς ἀνδράσιν, ἡμέρας ὀλίγας οἱ περὶ τὸν Πολύβιον[12] διαλιπόντες αὖθις ἐπεχείρουν εἰς τὴν σύγκλητον εἰσελθεῖν, ὅπως ἃς πρότερον εἶχον ἐν ᾽Αχαΐᾳ τιμὰς[13] οἱ φυγάδες ἀναλάβοιεν, καὶ τοῦ Κάτωνος ἀπεπειρῶντο τῆς γνώμης. ὁ δὲ μειδιάσας ἔφη τὸν Πολύβιον, ὥσπερ τὸν ᾽Οδυσσέα, βούλεσθαι πάλιν εἰς τὸ τοῦ Κύκλωπος σπήλαιον[14] εἰσελθεῖν, τὸ πιλίον[15] ἐκεῖ καὶ τὴν ζώνην[16] ἐπιλελησμένον.

[1]ügyében [2]ἡ ᾽Αχαία Achaia [3]ὁ/ἡ φυγάς száműzött [4]megkerestetett (ti. Cato) [5]ἡ σύγκλητος senatus [6]ἡ κάθοδος visszatérés [7]τὸ γερόντιον „öregúr"; „bácsi" [8]ὁ Γραικός görög [9]οἱ παρ᾽ ἡμῖν νεκροφόροι az itteni halottvivők [10]πότερον ... ἢ vajon ... vagy [11]νεκροφόρος 2 hullaszállító [12]a P.-szal kapcsolatban állók [13]ἡ τιμή megbecsülés; rang, hivatal [14]τὸ σπήλαιον barlang [15]τὸ πιλίον (nemez)kalap [16]ἡ ζώνη öv

Illessze a szövegbe a megadott szavakat!

τρέπονται – διώκειν – πορευομένη – ἔχειν – ἐπορεύοντο – ἔφευγον – νομίζοντες

Ταῦτα παρελαύνων ἔλεγε καὶ ἅμα ὑφηγεῖτο ἐπὶ φάλαγγος, καὶ τοὺς πελταστὰς ἑκατέρωθεν ποιησάμενοι ... ἐπὶ τοὺς πολεμίους. παρήγγελτο δὲ τὰ μὲν δόρατα ἐπὶ τὸν δεξιὸν ὦμον ..., ἕως σημαίνοι τῇ σάλπιγγι· ἔπειτα δὲ εἰς προσβολὴν καθέντας ἕπεσθαι βάδην καὶ μηδένα δρόμῳ .... ἐκ τούτου σύνθημα παρῄει Ζεὺς σωτήρ, ῾Ηρακλῆς ἡγεμών. οἱ δὲ πολέμιοι ὑπέμενον, ... καλὸν ἔχειν τὸ χωρίον. ἐπεὶ δ᾽ ἐπλησίαζον, ἀλαλάξαντες οἱ ῾Έλληνες πελτασταὶ ἔθεον ἐπὶ τοὺς πολεμίους πρίν τινα κελεύειν· οἱ δὲ πολέμιοι ἀντίοι ὥρμησαν, οἵ θ᾽ ἱππεῖς καὶ τὸ στῖφος τῶν Βιθυνῶν· καὶ ... τοὺς πελταστάς. ἀλλ᾽ ἐπεὶ ὑπηντίαζεν ἡ φάλαγξ τῶν ὁπλιτῶν ταχὺ ... καὶ ἅμα ἡ σάλπιγξ ἐφθέγξατο καὶ ἐπαιάνιζον καὶ μετὰ ταῦτα ἠλάλαζον καὶ ἅμα τὰ δόρατα καθίεσαν, ἐνταῦθα οὐκέτι ἐδέξαντο οἱ πολέμιοι, ἀλλὰ ....

65 Τοῦ πιεῖν ἐπιθυμία – A szomjúság

A samosi Duris volt a tragikus történetírás egyik megalapozója. Szerinte a történetírónak a tetteket úgy kell megjelenítenie, hogy az olvasó szinte maga előtt lássa azokat, mint egy színrevitt tragédiát. A leírásnak érzelmeket kell keltenie, főképp szánalmat és félelmet, hogy az olvasó maga is átélje a történelem drámájában bekövetkező sorsfordulatokat, és a veszedelmek közt hányódó főszereplőkkel azonosulni tudjon. Az ilyen történetírás gyönyörködtet, mert az olvasó maga is az események részesévé válik. Duris művei elvesztek, de egy töredékében megtalálható két kulcsszava: a *mimésis* és a *hédoné*. Később az effajta történetírás legjobb mesterének Thukydidést tartották. Thukydidés valóban drámaian írta meg az athéniak tragikus szicíliai kalandjának utolsó felvonását.

Νικίας δ' ἐπειδὴ ἡμέρα ἐγένετο ἦγε τὴν στρατιάν[1]· οἱ δὲ Συρακόσιοι καὶ οἱ ξύμμαχοι προσέκειντο τὸν αὐτὸν τρόπον[2] πανταχόθεν βάλλοντές τε καὶ κατακοντίζοντες. καὶ οἱ Ἀθηναῖοι ἠπείγοντο πρὸς τὸν Ἀσσίναρον ποταμόν, ἅμα μὲν βιαζόμενοι ὑπὸ τῆς πανταχόθεν προσβολῆς ἱππέων τε πολλῶν καὶ τοῦ ἄλλου ὄχλου[3], οἰόμενοι ῥᾷόν τι[4] σφίσιν[5] ἔσεσθαι, ἢν[6] διαβῶσι τὸν ποταμόν, ἅμα δ' ὑπὸ τῆς ταλαιπωρίας[7] καὶ τοῦ πιεῖν ἐπιθυμίᾳ. ὡς δὲ γίγνονται ἐπ' αὐτῷ[8], ἐσπίπτουσιν οὐδενὶ κόσμῳ[9] ἔτι, ἀλλὰ πᾶς τέ τις[10] διαβῆναι αὐτὸς πρῶτος βουλόμενος καὶ οἱ πολέμιοι ἐπικείμενοι χαλεπὴν ἤδη τὴν διάβασιν[11] ἐποίουν· ἀθρόοι[12] γὰρ ἀναγκαζόμενοι χωρεῖν ἐπέπιπτόν τε ἀλλήλοις καὶ κατεπάτουν, περί[13] τε τοῖς δορατίοις[14] καὶ σκεύεσιν[15] οἱ μὲν εὐθὺς διεφθείροντο, οἱ δὲ ἐμπαλασσόμενοι κατέρρεον. ἐς τὰ ἐπὶ θάτερά[16] τε τοῦ ποταμοῦ παραστάντες οἱ Συρακόσιοι (ἦν δὲ κρημνῶδες[17]) ἔβαλλον ἄνωθεν[18] τοὺς Ἀθηναίους, πίνοντάς τε τοὺς πολλοὺς ἀσμένους[19] καὶ ἐν κοίλῳ[20] ὄντι τῷ ποταμῷ[21] ἐν σφίσιν αὐτοῖς[22] ταρασσομένους. οἵ τε Πελοποννήσιοι ἐπικαταβάντες τοὺς ἐν τῷ ποταμῷ μάλιστα ἔσφαζον. καὶ τὸ ὕδωρ εὐθὺς διέφθαρτο, ἀλλ' οὐδὲν ἧσσον[23] ἐπίνετό τε ὁμοῦ[24] τῷ πηλῷ[25] ἡματωμένον[26] καὶ περιμάχητον[27] ἦν τοῖς πολλοῖς.

[1]ἡ στρατιά hadsereg [2]ugyanúgy (ti. mint korábban) [3]ὁ ἄλλος ὄχλος derékhad; a gyalogosok [4]ῥᾷον τι valamivel könnyebb [5]nekik [6](ἐάν) (+ coni.) ha [7]ἡ ταλαιπωρία szenvedés [8] = ἐπὶ ποταμῷ [9]οὐδενὶ κόσμῳ rendezetlenül [10]πᾶς τις mindenki [11]ἡ διάβασις átkelés [12]ἀθρόος 3 tömeges/en [13](+ dat.) *(szúrófegyver)* -tól/től, által [14]τὸ δοράτιον rövid dárda [15]τὸ σκεῦος felszerelés [16]τὰ ἐπὶ τὰ ἕτερα a túlpart [17]κρημνώδης 2 meredek [18]felülről [19]ἄσμενος 3 önfeledt/en [20]κοῖλος 3 üreges [21]κοῖλος ποταμός leapadt folyó [22]ἐν σφίσιν αὐτοῖς maguk közt; magukban [23]kevésbé [24](+ dat.) együtt [25]ὁ πηλός agyag; iszap [26]ἡματωμένος 3 vértől zavaros *(víz)* [27]περιμάχητος 2 *(kb.)* „a küzdelem tárgya"

Párosítsa a csattanókat a történetekkel!

1. Ἀριστοτέλης ἐρωτηθεὶς τί δυσκολώτατόν ἐστιν ἐν τῷ βίῳ, εἶπε·
2. Διογένης ἐρωτηθείς, τί τάχιστα γηράσκει παρ' ἀνθρώποις, εἶπε·
3. Ἀρίστων, ἐπαινοῦντός τινος τὴν τοῦ Κλεομένους χρείαν, ὅτι ἐρωτηθεὶς τί δεῖ τὸν ἀγαθὸν βασιλέα ποιεῖν εἶπε τοὺς μὲν φίλους εὐεργετεῖν τοὺς δ' ἐχθροὺς κακῶς ποιεῖν· ἔφη·
4. Διογένης πρὸς τοὺς ἑρπύσαντας ἐπὶ τὴν τράπεζαν μῦς, φησί·

(α) Χάρις.
(b) τὸ σιωπᾶν ἃ μὴ δεῖ λαλεῖν.
(c) ἰδού, καὶ Διογένης παρασίτους τρέφει.
(d) καὶ πόσῳ κρεῖσσον ὧ λῷστε, τοὺς μὲν φίλους εὐεργετεῖν τοὺς δ' ἐχθροὺς φίλους ποιεῖν;

66 Τὸ τέλος ἱστορίας – A történetírás célja

„Miként egy vonalzót – mondja Timaios –, még ha kissé rövid is vagy keskeny, de magában hordozza a vonalzó lényeges sajátosságát, vonalzónak kell neveznünk, ha viszont elveszíti egyenességét, vagyis azt a tulajdonságot, hogy egyenes, akkor bárminek hívhatjuk, csak vonalzónak nem; ugyanígy azt a történeti munkát is, amelyikben hibás ugyan a nyelvezet, a tárgyalásmód vagy valamelyik másik sajátos alkatelem, de ragaszkodik az igazsághoz, megilleti a történetírás elnevezés, ha azonban elszakad ettől, már nem nevezhetjük történetírásnak. Nekem is az a véleményem, hogy ezekben a munkákban az igazságnak kell a főszerepet játszania; magam írtam le munkámban valahol azt a hasonlatot, hogy miként az egész élő test tehetetlenné válik, ha elveszti szeme világát, ugyanúgy a történetírásból is haszontalan mese marad, ha az igazságot eltávolítjuk belőle." (Polybios; Kapitánffy István fordítása)

Δεῖ τοιγαροῦν[1] οὐκ ἐπιπλήττειν τὸν συγγραφέα[2] τερατευόμενον διὰ[3] τῆς ἱστορίας τοὺς ἐντυγχάνοντας[4] οὐδὲ τοὺς ἐνδεχομένους λόγους[5] ζητεῖν καὶ τὰ παρεπόμενα τοῖς ὑποκειμένοις[6] ἐξαριθμεῖσθαι, καθάπερ[7] οἱ τραγῳδιογράφοι[8], τῶν δὲ πραχθέντων καὶ ῥηθέντων κατ' ἀλήθειαν αὐτῶν μνημονεύειν πάμπαν[9], κἂν[10] πάνυ μέτρια[11] τυγχάνωσιν ὄντα. τὸ γὰρ τέλος ἱστορίας καὶ τραγῳδίας οὐ ταὐτόν[12], ἀλλὰ τοὐναντίον[13]. ἐκεῖ[14] μὲν γὰρ δεῖ διὰ τῶν πιθανωτάτων[15] λόγων ἐκπλῆξαι καὶ ψυχαγωγῆσαι κατὰ τὸ παρὸν[16] τοὺς ἀκούοντας, ἐνθάδε[17] δὲ διὰ τῶν ἀληθινῶν[18] ἔργων καὶ λόγων εἰς τὸν πάντα χρόνον[19] διδάξαι καὶ πεῖσαι τοὺς φιλομαθοῦντας, ἐπειδήπερ[20] ἐν ἐκείνοις μὲν ἡγεῖται τὸ πιθανόν[21], κἂν ᾖ[22] ψεῦδος, διὰ[23] τὴν ἀπάτην[24] τῶν θεωμένων, ἐν δὲ τούτοις τἀληθὲς[25] διὰ τὴν ὠφέλειαν[26] τῶν φιλομαθούντων. χωρίς[27] τε τούτων τὰς πλείστας ἡμῖν ἐξηγεῖται τῶν περιπετειῶν[28], οὐχ ὑποτιθεὶς αἰτίαν καὶ τρόπον τοῖς γινομένοις, ὧν χωρὶς οὔτ' ἐλεεῖν εὐλόγως[29] οὔτ' ὀργίζεσθαι καθηκόντως[30] δυνατὸν ἐπ'[31] οὐδενὶ τῶν συμβαινόντων. ἐπεὶ τίς ἀνθρώπων οὐ δεινὸν ἡγεῖται τύπτεσθαι τοὺς ἐλευθέρους; ἀλλ' ὅμως, ἐὰν μὲν ἄρχων[32] ἀδίκων χειρῶν πάθῃ τις τοῦτο, δικαίως κρίνεται πεπονθέναι· ἐὰν δ' ἐπὶ διορθώσει[33] καὶ μαθήσει[34] ταὐτὸ τοῦτο[35] γίνηται, προσέτι[36] καὶ τιμῆς[37] καὶ χάριτος οἱ τύπτοντες τοὺς ἐλευθέρους ἀξιοῦνται. καὶ μὴν[38] τό γε τοὺς πολίτας ἀποκτεινύναι μέγιστον ἀσέβημα[39] τίθεται καὶ μεγίστων ἄξιον προστίμων[40]· καίτοι γε[41] προφανῶς[42] ὁ μὲν τὸν κλέπτην[43] ἢ μοιχὸν[44] ἀποκτείνας ἀθῷός[45] ἐστιν, ὁ δὲ τὸν προδότην[46] ἢ τύραννον[47] τιμῶν καὶ προεδρείας[48] τυγχάνει παρὰ πᾶσιν. οὕτως ἐν παντὶ τὸ τέλος κεῖται τῆς διαλήψεως[49] ὑπὲρ τούτων οὐκ ἐν τοῖς τελουμένοις, ἀλλ' ἐν ταῖς αἰτίαις καὶ προαιρέσεσι[50] τῶν πραττόντων καὶ ταῖς τούτων διαφοραῖς[51].

[1]ezért [2]ὁ συγγραφεύς történetíró [3](+ gen.) -val/vel [4]„az olvasókat" [5]„a beilleszthető beszédeket" [6]τὰ ὑποκείμενα a tárgyul szolgáló események [7]mint [8]tragédiaköltők [9]teljesen [10]mégha ... is [11]μετρίος 3 átlagos [12]τὸ αὐτόν ugyanaz [13](τὸ ἐναντίον) [14]ott (ti. a tragédiában) [15]πιθανός 3 valószínűnek tűnő [16]κατὰ τὸ παρόν a pillanatnak megfelelően [17](em)itt [18]ἀληθινός 3 igazi [19](ἐς ἀεί) minden/örök időre [20]mivelhogy [21]a hihető(ség) [22](létige coni. sg. 3) [23]végett [24]ἡ ἀπάτη csalás, megtévesztés [25]τὸ ἀληθές az igazság [26]ἡ ὠφέλεια haszon [27](+ gen.) kívül [28]ἡ περιπέτεια fordulat *(a drámában)* [29]„joggal" [30]illően [31](+ dat.) miatt [32]ha a jogtalan tettek kezdeményezőjeként [33]ἡ διόρθωσις javítás [34]ἡ μάθησις okítás [35]ugyanez [36]ráadásul [37]ἡ τιμή tisztelet [38]bizony [39]τὸ ἀσέβημα istentelenség [40]τὸ πρόστιμον büntetés [41]καίτοι γε pedig hát [42]nyilvánvalóan [43]ὁ κλέπτης tolvaj [44]ὁ μοιχός házasságtörő [45]ἀθῷος 2 büntetlen [46]ὁ προδότης áruló [47](ti. megölőt) [48]„kitüntetés" [49]ἡ διάληψις megkülönböztetés, megítélés [50]ἡ προαίρεσις szándék [51]ἡ διαφορά különbség

67 Σὺ στρατήγει – Te vezess minket hadba!

Nagyon dicsérik Kynaigeirost, aki a csatában is vitézül küzdött, s miután az ellenséget a hajókig üldözte, jobbjával visszafogta az egyik hajót. Amikor jobbját levágták, baljával ragadta meg, mikor ezt is levágták, fogaival tartotta vissza. Vitézségét kezei elvesztése sem törte meg: mint egy oroszlán, a fogaival harcolt. A teljes történet Iustinus kivonatában olvasható, s egy Hérodotos-mondatból burjánzott föl: Kynaigeiros, Euphorión fia is elesett, kezét levágta egy bárd, amikor egy hajó orrát megragadta. Történetté persze nem a kivonatoló Iustinus csiszolta Kynaigeiros tettét, hanem a szónokiskolákban deklamáló nemzedékek. Mivel a regényírók is ott tanultak, a regényekben is feltűnnek az iskolába bejutott s így közismertté vált történetek Marathónról, Leónidasról s hasonlókról.

Βασιλεὺς[1] δὲ θαυμάσας αὐτοῦ τὸ φρόνημα[2] συνεχώρησεν ὁπόσον[3] βούλεται τῆς στρατιᾶς ἐπίλεκτον[4] λαβεῖν. ὁ δὲ οὐκ εὐθὺς εἵλετο, ἀλλὰ καταμίξας ἑαυτὸν εἰς τὸ στρατόπεδον καὶ Πολύχαρμον κελεύσας τὸ αὐτό[5], πρῶτον ἀνηρεύνα εἴ[6] τινες εἶεν ῞Ελληνες ἐν τῷ στρατοπέδῳ. πλείονες μὲν οὖν εὑρέθησαν οἱ μισθοφοροῦντες[7], ἐξελέξατο δὲ Λακεδαιμονίους καὶ Κορινθίους καὶ τοὺς ἄλλους Πελοποννησίους· εὗρε δὲ καὶ ὡς[8] εἴκοσι Σικελιώτας[9]. ποιήσας οὖν τριακοσίους[10] τὸν ἀριθμὸν[11] ἔλεξεν ὧδε[12]· «῞Ανδρες ῞Ελληνες, ἐμοὶ τοῦ βασιλέως ἐξουσίαν[13] παρασχόντος ἐπιλέξασθαι τῆς στρατιᾶς τοὺς ἀρίστους, εἱλόμην ὑμᾶς· καὶ γὰρ αὐτὸς ῞Ελλην εἰμί, Συρακόσιος[14], γένος[15] Δωριεύς. δεῖ δὲ ἡμᾶς μὴ μόνον εὐγενείᾳ[16] τῶν ἄλλων ἀλλὰ καὶ ἀρετῇ διαφέρειν. μηδεὶς[17] οὖν καταπλαγῇ τὴν πρᾶξιν ἐφ' ἣν[18] ὑμᾶς παρακαλῶ, καὶ γὰρ δυνατὴν[19] εὑρήσομεν καὶ ῥᾳδίαν[20], δόξῃ[21] μᾶλλον ἢ[22] πείρᾳ[23] δύσκολον[24]. ῞Ελληνες ἐν Θερμοπύλαις τοσοῦτοι[25] Ξέρξην ὑπέστησαν. Τύριοι[26] δὲ οὐκ εἰσὶ πεντακόσιαι μυριάδες[27], ἀλλὰ ὀλίγοι καὶ καταφρονήσει[28] μετ' ἀλαζονείας[29], οὐ φρονήματι μετ' εὐβουλίας[30] χρώμενοι. γνώτωσαν[31] οὖν πόσον ῞Ελληνες Φοινίκων[32] διαφέρουσιν. ἐγὼ δὲ οὐκ ἐπιθυμῶ στρατηγίας[33], ἀλλ' ἕτοιμος[34] ἀκολουθεῖν ὅστις ἂν ὑμῶν[35] ἄρχειν θέλῃ· πειθόμενόν[36] με γὰρ εὑρήσει, ἐπεὶ καὶ δόξης[37] οὐκ ἐμῆς ἀλλὰ κοινῆς ὀρέγομαι.» Πάντες ἐπεβόησαν «σὺ στρατήγει.»

[1](ti. a perzsa) [2]τὸ φρόνημα önbizalom [3]amennyit [4]ἐπίλεκτος 3 válogatott [5]ugyanazt [6]vajon [7]zsoldosok [8]kb. [9]ὁ Σικελιώτης szicíliai [10]τριακόσιοι 3 háromszáz [11]számra [12]így [13]ἡ ἐξουσία lehetőség [14]syrakusai [15]származásra [16]ἡ εὐγένεια előkelő *(itt: dór)* származás [17]senki [18]ἐπὶ ἥν amire [19]δυνατός 3 megvalósítható [20]ῥᾴδιος 3 könnyen megtehető [21]ἡ δόξα vélekedés [22]μᾶλλον ἤ inkább, mint [23]ἡ πεῖρα próba [24]δύσκολος 2 nehezen megtehető [25]ugyanennyi/en [26]Tyros lakói [27]ἡ μυριάς tízezer; πεντακόσιαι μυριάδες ötmillió [28]ἡ καταφρόνησις elbizakodottság [29]ἡ ἀλαζονεία hetvenkedés [30]ἡ εὐβουλία megfontoltság [31]tudják meg [32]Φοῖνιξ főníciai [33]ἡ στρατηγία fővezérség [34]ἕτοιμος 3 kész, hajlandó [35]ὅστις ἂν ὑμῶν ha bármelyikőtök [36]πειθόμενος engedelmes [37]hírnévre

Illessze a szövegbe a megadott szavakat!

Εὐριπίδης – θεῷ – κόρης – ἀδελφήν – χώραν – ὕστερον

Τυθείσης τινὸς ... καὶ ἀφανισθείσης ἀδήλως τοῖς θύσασιν, ἱδρυνθείσης δὲ εἰς ἄλλην ..., ἐν ᾗ νόμος ἦν τοὺς ξένους θύειν τῇ ..., ταύτην ἔσχε τὴν ἱερωσύνην· χρόνῳ δὲ ... τῷ ἀδελφῷ συνέβη ἐλθεῖν τῆς ἱερείας, τὸ δὲ ὅτι ἀνεῖλεν ὁ θεὸς ἐλθεῖν ἐκεῖ καὶ ἐφ' ὅ τι δὲ ἔξω τοῦ μύθου· ἐλθὼν δὲ καὶ ληφθεὶς θύεσθαι μέλλων ἀνεγνώρισεν, εἶθ' ὡς ... εἶθ' ὡς Πολύιδος ἐποίησεν, κατὰ τὸ εἰκὸς εἰπὼν ὅτι οὐκ ἄρα μόνον τὴν ... ἀλλὰ καὶ αὐτὸν ἔδει τυθῆναι, καὶ ἐντεῦθεν ἡ σωτηρία.

68 Ὁ χαμαιλέων – A kaméleon

Alkibiadés kitűnő szónok volt, és tudott bánni a tömeggel, de büszkesége és okossága mellett leginkább fényűző életmódja volt feltűnő, amelyet kéjvágy jellemzett, és részeg kicsapongás. Földet söprő, nőies bíborköntösben mutatkozott az agorán; tékozolta vagyonát. Kifűrészeltette triérései fedélzetét, hogy ne a deszkán kelljen feküdnie, hanem függőágyban alhasson. Aranyborítású pajzsát a megszokott ábrák helyett a villámokat tartó Erós díszítette. Mindez dühítette és undorral töltötte el az előkelőket, de meg is rémítette őket a magamutogató törvénytiprás, ami a tyrannos ismertetőjegye. Ellenségei tehát a Hermák megcsonkítása miatt hazarendelték Szicíliából a stratégos Alkibiadést, de ő Lakedaimónba szökött, és ott tanácsaival segítette a hazájával hadban álló Spártát.

Ἦν γὰρ ὥς φασι[1] μία δεινότης[2] αὕτη τῶν πολλῶν ἐν αὐτῷ καὶ μηχανὴ[3] θήρας[4] ἀνθρώπων, συνεξομοιοῦσθαι καὶ συνομοπαθεῖν τοῖς ἐπιτηδεύμασι καὶ ταῖς διαίταις[5], ὀξυτέρας[6] τρεπομένῳ τροπὰς[7] τοῦ χαμαιλέοντος. πλὴν ἐκεῖνος μὲν ὡς λέγεται πρὸς ἓν ἐξαδυνατεῖ χρῶμα[8] τὸ λευκὸν ἀφομοιοῦν ἑαυτόν· Ἀλκιβιάδῃ δὲ διὰ χρηστῶν ἰόντι καὶ πονηρῶν ὁμοίως[9] οὐδὲν ἦν ἀμίμητον[10] οὐδ' ἀνεπιτήδευτον[11], ἀλλ' ἐν Σπάρτῃ γυμναστικός[12], εὐτελής[13], σκυθρωπός[14], ἐν Ἰωνίᾳ χλιδανός[15], ἐπιτερπής[16], ῥᾴθυμος[17], ἐν Θράκῃ μεθυστικός[18], ἱππαστικός[19], Τισσαφέρνῃ δὲ τῷ σατράπῃ[20] συνὼν ὑπερέβαλλεν ὄγκῳ[21] καὶ πολυτελείᾳ[22] τὴν Περσικὴν μεγαλοπρέπειαν[23], οὐχ αὑτὸν ἐξιστὰς οὕτω ῥᾳδίως[24] εἰς ἕτερον ἐξ ἑτέρου τρόπον[25], οὐδὲ πᾶσαν δεχόμενος τῷ ἤθει[26] μεταβολήν[27], ἀλλ' ὅτι τῇ φύσει[28] χρώμενος ἔμελλε λυπεῖν τοὺς ἐντυγχάνοντας, εἰς πᾶν ἀεὶ τὸ πρόσφορον[29] ἐκείνοις σχῆμα[30] καὶ πλάσμα[31] κατεδύετο καὶ κατέφευγεν. ἐν γοῦν[32] τῇ Λακεδαίμονι πρὸς τὰ ἔξωθεν[33] ἦν εἰπεῖν *«οὐ παῖς Ἀχιλλέως*[34]*, ἀλλ' ἐκεῖνος αὐτὸς εἶ»*[35], οἷον ὁ Λυκοῦργος ἐπαίδευσε, τοῖς δ' ἀληθινοῖς ἄν τις ἐπεφώνησεν αὐτοῦ πάθεσι[36] καὶ πράγμασιν *«ἔστιν*[37] *ἡ πάλαι γυνή»*[38].

[1]ὥς φασι mint mondják [2]ἡ δεινότης félelmetes képesség [3]ἡ μηχανή módszer, fogás [4]ἡ θήρα vadászat (amire: gen.) [5]ἡ δίαιτα életmód [6]ὀξύς (εῖα, ύ) éles [7]ἡ τροπή fordulat, váltás [8]τὸ χρῶμα szín [9]egyformán [10]ἀμίμητος 2 nem utánzott, utánozhatatlan [11]ἀνεπιτήδευτος 2 szokássá nem vált [12]a testét edző [13]kevéssel beérő [14]komor [15]elpuhult [16]élvhajhász [17]könnyelmű [18]részeges [19]„lóbolond" [20]ὁ σατράπης satrapa *(perzsa helytartó)* [21]ὁ ὄγκος dölyf [22]ἡ πολυτέλεια tékozlás [23]ἡ μεγαλοπρέπεια fényűzés [24]könnyen [25]életmód [26]τὸ ἦθος jellem [27]ἡ μεταβολή átalakulás [28]τῇ φύσει saját természetükkel [29]πρόσφορος 2 (+ dat.) illő [30]τὸ σχῆμα szerep [31]τὸ πλάσμα alak [32]például [33]a külsejére [34]ὁ Ἀχιλλεύς, έως [35]*tragikus töredék* [36]τὸ πάθος érzelem; szenvedély [37]„maradt" [38]Eurip. Or. 129; *utalás Helenére*

Illessze a szövegbe a megadott szavakat!

τὸ μνημεῖον – χρήματα – τάφον – νεκρῶν – βασιλεύς – ἀνήρ

Σεμίραμις δὲ ἑαυτῇ κατασκευάσασα … ἐπέγραψεν «ὅστις ἂν χρημάτων δεηθῇ …, διελόντα … ὅσα βούλεται λαβεῖν.» Δαρεῖος οὖν διελὼν … μὲν οὐχ εὗρε, γράμμασι δὲ ἑτέροις ἐνέτυχε τάδε φράζουσιν· «εἰ μὴ κακὸς ἦσθα … καὶ χρημάτων ἄπληστος, οὐκ ἂν … θήκας ἐκίνεις.»

69 Μηδὲν ἄγαν – Semmit se túlságosan!

Solón idejében viszály tört ki Athénban a nép és az előkelők között, mert a földet az előkelők birtokolták, a nép pedig nekik szolgált. A viszály hosszú ideig tartott; végül a nép és az előkelők Solónt, az ismert költőt archónná és közvetítővé (diallaktés) választották. Solón eltörölte az adósságokat, és törvényeket hozott az athéniaknak, akik ezután nem használták többé a drakóni törvényeket. Később mindkét fél zaklatta, ezért – s hogy ne kényszeríthessék a törvények megváltoztatására – elhagyta a várost. Külföldre távozott, hogy világot lásson, és kereskedett is. Solón ugyanis, bár apja, Exékestidés Kodros királyig vezette vissza származását, nem örökölt nagy vagyont, így kereskedésből élt. Felkereste Egyiptomot, valamint Kroisos király udvarát is, majd hazatért Athénba.

Σόλων ὁ Ἐξηκεστίδου γέρων ἤδη ὢν ὑπώπτευε Πεισίστρατον τυραννίδι ἐπιθήσεσθαι, ἡνίκα[1] παρῆλθεν ἐς τὴν ἐκκλησίαν τῶν Ἀθηναίων καὶ ᾔτει φρουρὰν[2] ὁ Πεισίστρατος. ὁρῶν δὲ τοὺς Ἀθηναίους τῶν μὲν αὐτοῦ λόγων ῥᾳθύμως[3] ἀκούοντας, προσέχοντας δὲ τῷ Πεισιστράτῳ, ἔφη ὅτι τῶν μέν ἐστι σοφώτερος, τῶν δὲ ἀνδρειότερος[4]. ὁπόσοι[5] μὲν μὴ γινώσκουσιν ὅτι φυλακὴν λαβὼν περὶ τὸ σῶμα[6] τύραννος ἔσται, ἀλλὰ τούτων μέν ἐστι σοφώτερος· ὁπόσοι δὲ γινώσκοντες ὑποσιωπῶσι, τούτων ἀνδρειότερός ἐστιν. ὃ δὲ λαβὼν τὴν δύναμιν[7] τύραννος ἦν. καθεζόμενος δὲ Σόλων πρὸ τῆς οἰκίας, τὴν ἀσπίδα καὶ τὸ δόρυ[8] παραθέμενος ἔλεγεν ὅτι ἐξώπλισται καὶ βοηθεῖ τῇ πατρίδι ᾗ[9] δύναται, στρατηγὸς μὲν διὰ τὴν ἡλικίαν οὐκέτι[10] ὤν, εὔνους[11] δὲ διὰ τὴν γνώμην[12]. ὅμως οὖν[13] Πεισίστρατος, εἴτε αἰδοῖ[14] τῇ πρὸς[15] τὸν ἄνδρα καὶ τὴν σοφίαν αὐτοῦ, εἴτε[16] καὶ μνήμῃ[17] τῶν ἐφ' ἡλικίας[18] (λέγεται γὰρ αὐτοῦ παιδικὰ[19] γενέσθαι), οὐδέν γε ἔδρασε κακὸν[20] Σόλωνα.

[1]amikor [2]ἡ φρουρά (test)őrség [3]„félvállról véve" [4]τῶν μὲν ... τῶν δέ egyeseknél ... másoknál [5]mindazok [6]ἡ φυλακή περὶ τὸ σῶμα testőrség [7]ἡ δύναμις (had)erő [8]τὸ δόρυ dárda [9]ᾗ ahogyan [10]már nem [11](εὔνοος) jóindulatú [12]ἡ γνώμη ítélőképesség [13]ὅμως οὖν ennek ellenére [14]ἡ αἰδώς, οὖς tiszteletérzés [15]αἰδοῖ τῇ πρός (+ acc.) iránt érzett tiszteletből [16]εἴτε ... εἴτε akár ... akár [17]ἡ μνήμη (+ gen.) emlékezés ...ra/re [18]τὰ ἐπὶ ἡλικίας a fiatalkori ügyek [19]τὰ παιδικά αὐτοῦ az ő (ti. Solón) kedvese [20]κακόν τι δρᾶν τινα vmi rosszat tenni vkivel

Melyik szó illik a mondatba?

1. Μετὰ ταῦτα ἀναστάντες εἰς τὴν αὐλὴν (περιῆμεν – περιῆμεν).
2. Ὁ ἡγεμὼν ᾔτει δὲ μάλιστα τοὺς (δακτύλους – δακτυλίους) καὶ ἔλαβε πολλοὺς παρὰ τῶν στρατιωτῶν.
3. Ἐν (μεγάλῃ – πολλῇ) δὴ ἀπορίᾳ ἦσαν οἱ Ἕλληνες.
4. Οἱ μέντοι πολέμιοι οὐδὲν ἐπαύσαντο δι' ὅλης τῆς νυκτὸς (κυλινδεῖν – κυλινδοῦντες) τοὺς λίθους.
5. Προϊόντες δέ, ἐπεὶ ἐγένοντο οἱ ἡγούμενοι ἐπὶ (νάπῃ – νάπει) μεγάλῳ καὶ δυσπόρῳ, ἔστησαν ἀγνοοῦντες, εἰ διαβατέον εἴη τὸ νάπος.
6. Οἱ δ' ἔχοντες τὸν ἡγεμόνα κύκλῳ (περίοντες – περιιόντες – παρόντες) καταλαμβάνουσι τοὺς φύλακας ἀμφὶ πῦρ καθημένους.
7. Ἐρωτώμενος δέ ποδαπὸς εἴη Πέρσης μὲν ἔφη εἶναι, πορεύεσθαι δ' ἀπὸ τοῦ Τιριβάζου (στρατοπέδου – στρατεύματος – στρατοῦ), ὅπως ἐπιτήδεια λάβοι.
8. Τί δή (ἔστι – ἐστι – ἐστὶ) τοῦτο, περὶ οὗ αὐτός τε ἐπιστήμων (ἔστιν – ἐστιν – ἐστὶν) ὁ σοφιστὴς καὶ τὸν μαθητὴν ποιεῖ.

70 Πάντων ἀνδρῶν ἐπιμονώτατος – A legállhatatosabb

Athénban még meghalni sem lehet ingyen, mondta Phókión, miután elítélt társai kiürítették a méregpoharakat, és a hóhér nem akart újabb adag mérget sajtolni, míg meg nem kapta a pénzt, amibe a bürök kerül. Ekkor maga Phókión fizette ki a bürök árát, majd megitta a mérget. A népgyűlés később bronzszobrot szavazott meg neki, vádlóit pedig kivégezték. A *Párhuzamos életrajzok*ban Phókión párja az ifjabb Cato. Cato a thasosi csata után kilátástalannak ítélte a Caesar elleni harcot, és öngyilkos lett. Barátai társaságában megvacsorázott, majd sétált egyet, és parancsokat adott ki az őrségnek. Lefekvés előtt megcsókolta fiát, majd visszavonult szobájába, és Platónnak a lélekről szóló dialógusát kezdte olvasni. Ekkor vette észre, hogy eltüntették szobájából a kardját.

Τὸ δὲ ξιφίδιον[1] τῇ κλίνῃ[2] τὸ σύνηθες[3] οὐχ εὑρὼν παρακείμενον ἐξεβόησεν, ὅτι προδιδοῖτο ὑπὸ τῶν οἰκείων[4] τοῖς πολεμίοις· τίνι γὰρ ἔφη χρήσεσθαι προσιόντων[5], ἂν νυκτὸς ἐπίωσι; τῶν[6] δὲ αὐτὸν παρακαλούντων μηδὲν ἐφ' ἑαυτὸν[7] βουλεύειν, ἀλλ' ἀναπαύεσθαι χωρὶς[8] ξιφιδίου, ἀξιοπιστότερον[9] ἔτι εἶπεν· «οὐ γὰρ ἔστι μοι θέλοντι καὶ δι'[10] ἐσθῆτος ἑμαυτὸν ἀποπνῖξαι καὶ ἐς τὰ τείχη[11] τὴν κεφαλὴν ἀπαράξαι καὶ ἐς τράχηλον κυβιστῆσαι καὶ τὸ πνεῦμα[12] κατασχόντα ἐκτρῖψαι;» πολλά τε ὅμοια εἰπὼν παρήγαγεν αὐτοὺς παραθεῖναι τὸ ξιφίδιον. ὡς[13] δὲ ἐτέθη, Πλάτωνος αἰτήσας τὴν περὶ ψυχῆς συγγραφὴν[14] ἀνεγίνωσκε. Καὶ ἐπεὶ τέλος[15] εἶχε τῷ Πλάτωνι ὁ λόγος, ἀναπαύεσθαι τοὺς περὶ θύρας[16] ὑπολαβὼν ἔτρωσεν αὐτὸν ὑπὸ[17] τὰ στέρνα[18]· προπεσόντων δ' αὐτῷ τῶν σπλάγχνων[19] καὶ στόνου[20] τινὸς ἐξακουσθέντος ἐσέδραμον οἱ περὶ θύρας· καὶ οἱ ἰατροὶ τὰ σπλάγχνα ἔτι[21] σῶα ὄντα ἐνέθηκαν ἔνδον[22] καὶ τὰς πληγὰς[23] ἐπιρράψαντες ἐπέδησαν. ὁ δὲ ἀνενεγκὼν[24] αὖθις ὑπεκρίνετο καὶ κατεμέμφετο μὲν ἑαυτῷ πληγῆς ἀσθενοῦς[25], χάριν[26] δ' ὡμολόγει τοῖς περισώσασι[27] καὶ καταδαρθεῖν ἔφη δεῖσθαι. οἱ μὲν δὴ τὸ ξίφος[28] ἔχοντες ᾤχοντο καὶ τὰς θύρας ὡς[29] ἠρεμοῦντι ἐπέκλεισαν· ὁ δ' ὕπνου δόξαν αὐτοῖς παρασχὼν[30] τὰ δεσμὰ[31] ταῖς χερσὶ[32] μετὰ σιγῆς[33] ἀπερρήγνυ καὶ τὰς ῥαφὰς[34] τοῦ τραύματος[35] ἀνέπτυσσεν, οἷα[36] θηρίον τό τε τραῦμα καὶ τὴν γαστέρα[37] εὐρύνων ὄνυξι[38] καὶ δακτύλοις ἐρευνῶν καὶ τὰ σπλάγχνα διαρρίπτων, μέχρι ἐτελεύτησεν.

[1]τὸ ξιφίδιον *(rövid)* kard [2]ἡ κλίνη ágy [3]συνήθης 2 szokott [4]οἱ οἰκεῖοι (saját) háznépe [5]ti. τῶν πολεμίων gen. abs. [6](οἰκείων) [7]maga ellen [8](+ gen.) nélkül [9]meggyőzőbben [10]διά (+ gen.) segítségével [11]τὸ τεῖχος fal [12]τὸ πνεῦμα lélekzet [13]mihelyt [14]ἡ συγγραφή (prózai) mű; könyv [15]τὸ τέλος cél, vég [16]οἱ περὶ θύρας ajtónállók [17]ὑπὸ τὰ στέρνα a melle alatt [18]τὸ στέρνον mell(kas) [19]τὰ σπλάγχνα belső részek; belek [20]ὁ στόνος nyögés [21]még [22]be(nt) [23]ἡ πληγή ütés(nyom), seb [24]„felocsúdva" [25]ἀσθενής 2 gyenge; „nem halálos" [26]ἡ χάρις köszönet [27]περισώσας 3 megmentő [28]τὸ ξίφος kard [29]abban a hiszemben [30]ὕπνου δόξαν παρασχών alvást színlelve [31]τὰ δέσμα kötés [32]ἡ χείρ kéz [33]μετὰ σιγῆς csöndben [34]ἡ ῥαφή varrat [35]τὸ τραῦμα seb [36]mint [37]ἡ γαστήρ, γαστρός has [38]ὁ ὄνυξ, υχος köröm

Ki lehet a beszélő?

Ἐμοὶ δὲ τοῦτ' ἐστὶν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη, ἥ, ὅταν γένηται, ἀεὶ ἀποτρέπει με τοῦτο, ὃ ἂν μέλλω, πράττειν, προτρέπει δὲ οὔποτε· τοῦτ' ἔστιν, ὅ μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν.

71 Ἄλλος πρὸς ἄλλο πέφυκε – Mindenki másra született

Hypereidést pentathlosnak nevezték, mert az ékesszólás minden ágában kitűnt. A pentathlos öttusázót jelent. A pentathlon diszkoszvetésből, távolugrásból és gerelyhajításból, továbbá stadionfutásból és birkózásból állt. A testgyakorlás eredetileg az erő és az ügyesség fokozására szolgált, hiszen a polgár első kötelessége a polis védelme volt. Később a gyakorlás életformává, a küzdelem hivatássá vált, drága edzővel, sok lemondással, és a megkoszorúzott számára persze dicsőséggel is. A testgyakorlás a mindennapok része volt, a versenyszellem pedig a gyakorlóterekről az élet más területére is átterjedt: a zenészek, a szónokok és a költők egymással és elődeikkel is vetélkedtek. A versengés kultusza szükségszerűen a nyelvre, a metaforákra és hasonlatokra is ráütötte bélyegét.

Θέλεις Ὀλύμπια[1] νικῆσαι; κἀγώ, νὴ τοὺς θεούς[2]· κομψὸν[3] γάρ ἐστιν. ἀλλὰ σκόπει τὰ καθηγούμενα[4] καὶ τὰ ἀκόλουθα[5] καὶ οὕτως ἅπτου τοῦ ἔργου. δεῖ σ' εὐτακτεῖν, ἀναγκοτροφεῖν, ἀπέχεσθαι πεμμάτων[6], γυμνάζεσθαι πρὸς ἀνάγκην[7], ἐν ὥρᾳ τεταγμένῃ[8], ἐν καύματι[9], ἐν ψύχει[10], μὴ ψυχρὸν[11] πίνειν, μὴ οἶνον, ὡς ἔτυχεν[12], ἁπλῶς[13] ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ[14], εἶτα ἐν τῷ ἀγῶνι παρορύσσεσθαι, ἔστι δὲ ὅτε[15] χεῖρα ἐκβαλεῖν, σφυρὸν[16] στρέψαι, πολλὴν ἀφὴν[17] καταπιεῖν, ἔσθ' ὅτε μαστιγωθῆναι[18] καὶ μετὰ τούτων πάντων νικηθῆναι. ταῦτα ἐπισκεψάμενος, ἂν ἔτι[19] θέλῃς, ἔρχου ἐπὶ τὸ ἀθλεῖν[20]. εἰ δὲ μή, ὡς τὰ παιδία[21] ἀναστραφήσῃ, ἃ νῦν μὲν παλαιστὰς[22] παίζει[23], νῦν δὲ μονομάχους[24], νῦν δὲ σαλπίζει, εἶτα τραγῳδεῖ· οὕτω καὶ σὺ νῦν μὲν ἀθλητής[25], νῦν δὲ μονομάχος, εἶτα ῥήτωρ[26], εἶτα φιλόσοφος, ὅλῃ δὲ τῇ ψυχῇ οὐδέν· ἀλλ' ὡς πίθηκος πᾶσαν θέαν[27], ἣν ἂν[28] ἴδῃς, μιμῇ καὶ ἄλλο ἐξ ἄλλου[29] σοι ἀρέσκει. οὐ γὰρ μετὰ σκέψεως[30] ἦλθες ἐπί τι οὐδὲ περιοδεύσας, ἀλλ' εἰκῇ[31] καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν. οὕτω θεασάμενοί τινες φιλόσοφον καὶ ἀκούσαντες οὕτω τινὸς λέγοντος, ὡς Εὐφράτης λέγει (καίτοι[32] τίς οὕτω δύναται εἰπεῖν, ὡς ἐκεῖνος;), θέλουσι καὶ αὐτοὶ φιλοσοφεῖν. ἄνθρωπε[33], πρῶτον ἐπίσκεψαι, ὁποῖόν ἐστι τὸ πρᾶγμα· εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε, εἰ δύνασαι βαστάσαι. πένταθλος εἶναι βούλει ἢ παλαιστής; ἴδε σεαυτοῦ τοὺς βραχίονας[34], τοὺς μηρούς[35], τὴν ὀσφὺν[36] κατάμαθε. ἄλλος γὰρ πρὸς ἄλλο πέφυκε.

[1]az olympiai versenyek/et [2]az istenekre! [3]κομψός 3 remek [4]„kezdőlépések/et" [5]„velejárói/t" [6]τὸ πέμμα sütemény [7]„előírás szerint" [8]τεταγμένος 3 rögzített [9]τὸ καῦμα hőség [10]τὸ ψῦχος hideg idő, tél [11]ψυχρός 3 hideg [12]ὡς ἔτυχεν ahogy (már) megesett [13]egyszóval [14]ὁ ἐπιστάτης elöljáró, „edző" [15]ἔστι ὅτε megesik, hogy [16]τὸ σφυρόν boka [17]ἡ ἀφή por, homok [18]*(ti. a bíró szabálytalanságért)* [19]ἂν ἔτι ha még [20]τὸ ἀθλεῖν versenysport [21]τὰ παιδία, ἅ gyerkőcök, akik [22]ὁ παλαιστής birkózó [23]„birkózósdit játszanak" [24]ὁ μονομάχος gladiátor [25]ὁ ἀθλητής atléta [26]ὁ ῥήτωρ szónok(lattanár) [27]ἡ θέα látvány(osság) [28]ἥν ἄν (+ coni.) amit csak [29]mindenből más [30]ἡ σκέψις megfontolás [31]találomra [32]ámbár [33]ember! [34]ὁ βραχίων kar [35]ὁ μηρός comb [36]ἡ ὀσφύς csípő

Melyik mű tartalmának tömör összefoglalása ez?

Ἀποδημοῦντός τινος ἔτη πολλὰ καὶ παραφυλαττομένου ὑπὸ τοῦ Ποσειδῶνος καὶ μόνου ὄντος, ἔτι δὲ τῶν οἴκοι οὕτως ἐχόντων ὥστε τὰ χρήματα ὑπὸ μνηστήρων ἀναλίσκεσθαι καὶ τὸν υἱὸν ἐπιβουλεύεσθαι, αὐτὸς δὲ ἀφικνεῖται χειμασθείς, καὶ ἀναγνωρίσας τινὰς ἐπιθέμενος αὐτὸς μὲν ἐσώθη τοὺς δ' ἐχθροὺς διέφθειρε.

72 Ὅμοιον εἶναι τῇ ἄκρᾳ – Légy, mint szikla, rendületlen

„A Stoa bölcsei és Epikur iskolája két, egymással ellenkező véleményt állítának fel: amazok minden polgárnak a közdolgokkal foglalatoskodást kötelességévé tévén; ez elvonulást s magányos kénynek élést tanítván. Csak azt csudálom, hogy mind két vélemény ugyanazon szabad társaság körében vett származást. Mert ha a Stoa tudománya szabad polgárokhoz oly igen méltó vala; Epikuré senkihez sem illet volna úgy, mint despotai üldözést megunt emberhez, ki messze rejtekben keres a vaspálca elől menedéket. Ezt fontolóra vévén, által fogod látni, miképpen azon jogokkal, miket sorsodtól nyerél, nemcsak élhetsz szabadon, de élni kötelezteted; és íme, ez a fő szempont, mi után élted tervét, gyenge ifjúságodtól kezdve, intézned szükséges." (Kölcsey Ferenc)

᾽Εννοεῖν[1] συνεχῶς πόσοι[2] μὲν ἰατροὶ ἀποτεθνήκασι, πολλάκις τὰς ὀφρῦς[3] ὑπὲρ[4] τῶν ἀρρώστων[5] συσπάσαντες· πόσοι δὲ μαθηματικοί[6], ἄλλων θανάτους ὥς τι μέγα[7] προειπόντες· πόσοι δὲ φιλόσοφοι, περὶ θανάτου ἢ ἀθανασίας[8] μυρία[9] διατεινάμενοι· πόσοι δὲ ἀριστεῖς[10], πολλοὺς ἀποκτείναντες· πόσοι δὲ τύραννοι, ἐξουσίᾳ ψυχῶν[11] μετὰ δεινοῦ φρυάγματος[12] ὡς ἀθάνατοι κεχρημένοι· πόσαι δὲ πόλεις ὅλαι, ἵν᾽ οὕτως εἴπω[13], τεθνήκασιν, ᾽Ελίκη[14] καὶ Πομπήιοι καὶ ᾽Ηρκλᾶνον[15] καὶ ἄλλαι ἀναρίθμητοι[16]. ἔπιθι δὲ καὶ ὅσους οἶδας, ἄλλον ἐπ᾽ ἄλλῳ[17]· ὁ μὲν τοῦτον κηδεύσας εἶτα ἐξετάθη, ὁ δὲ ἐκεῖνον, πάντα δὲ ἐν βραχεῖ[18]. τὸ γὰρ ὅλον[19], κατιδεῖν ἀεὶ τὰ ἀνθρώπινα[20] ὡς ἐφήμερα[21] καὶ εὐτελῆ[22] καὶ ἐχθὲς[23] μὲν μυξάριον[24], αὔριον[25] δὲ τάριχος[26] ἢ τέφρα[27]. τὸ ἀκαριαῖον[28] οὖν τοῦτο τοῦ χρόνου[29] κατὰ φύσιν διελθεῖν καὶ ἴλεων[30] καταλῦσαι, ὡς[31] ἂν εἰ ἐλαία[32] πέπειρος[33] γενομένη ἔπιπτεν, εὐφημοῦσα τὴν ἐνεγκοῦσαν καὶ χάριν εἰδυῖα[34] τῷ φύσαντι δένδρῳ[35].

[1](inf.) „gondolj arra" [2]mennyi [3]ἡ ὀφρῦς szemöldök [4](+ gen.) fölött [5]ἄρρωστος 2 beteg [6]ὁ μαθηματικός „asztrológus" [7]ὥς τι μέγα mint valami nagy dolgot [8]ἡ ἀθανασία halhatatlanság [9]sok ezerszer [10]ὁ ἀριστεύς főember; kiválóság [11]ἐξουσία ψυχῶν életekről való döntés lehetősége [12]τὸ φρύαγμα gőg [13]ἵνα οὕτως εἴπω hogy úgy mondjam [14]Heliké *(szökőár elmosta acháj város)* [15]Pompeii és Herculaneum *(A Vezúv lávája „ölte meg őket" Kr. u. 79-ben.)* [16]ἀναρίθμητος 2 számtalan [17]sorban mindenkit [18]ἐν βραχεῖ (χρόνῳ) rövid idő alatt [19]τὸ ὅλον egyáltalá(ba)n [20]τὰ ἀνθρώπινα az emberi dolgok [21]ἐφήμερος 2 egy nap élő; múlékony [22]εὐτελής 2 értéktelen [23]tegnap [24]τὸ μυξάριον (mirigy)váladék; *(kb.)* „embrió" [25]holnap [26]bebalzsamozott tetem [27]hamu [28]ἀκαριαῖος 3 nagyon rövid [29]ezt a villanásnyi időt [30]ἴλεως 2 (ἴλεων) jókedvű [31]ahogy [32]ἡ ἐλαία olajbogyó [33]πέπειρος 2 (3) érett [34]χάριν εἰδέναι (+ dat.) hálát érezni [35]τὸ δένδρον fa

Illessze a szövegbe a megadott szavakat!

χαλεπῶς – τάχιστα – ἀπό – Σικυώνιος – ἐπί – μόλις – ἐκ

Σωτηρίδας δὲ ὁ … εἶπεν· Οὐκ ἐξ ἴσου, ὦ Ξενοφῶν, ἐσμέν· σὺ μὲν γὰρ … ἵππου ὀχῇ, ἐγὼ δὲ … κάμνω τὴν ἀσπίδα φέρων. καὶ ὃς ἀκούσας ταῦτα καταπηδήσας … τοῦ ἵππου ὠθεῖται αὐτὸν … τῆς τάξεως καὶ τὴν ἀσπίδα ἀφελόμενος ὡς ἐδύνατο … ἔχων ἐπορεύετο· ἐτύγχανε δὲ καὶ θώρακα ἔχων τὸν ἱππικόν· ὥστ᾽ ἐπιέζετο. καὶ τοῖς μὲν ἔμπροσθεν ὑπάγειν παρεκελεύετο, τοῖς δὲ ὄπισθεν παριέναι … ἑπόμενος.

Szemelvények Hérodotosból

Néhány antik testimonium

Bár Cicero Hérodotost tartotta a történetírás atyjának, életéről vajmi keveset tudunk. A legfontosabb forrásunk a X. századi Suda lexikon Hérodotos-szócikke.

Ἡρόδοτος, Λύξου καὶ Δρυοῦς, ἁλικαρνασεύς, τῶν ἐπιφανῶν, καὶ ἀδελφὸν ἐσχηκὼς Θεόδωρον. μετέστη δ' ἐν Σάμῳ διὰ Λύγδαμιν τὸν ἀπὸ Ἀρτεμισίας τρίτον τύραννον γενόμενον ἁλικαρνασσοῦ· Πισίνδηλις γὰρ ἦν υἱὸς Ἀρτεμισίας, τοῦ δὲ Πισινδήλιδος Λύγδαμις. ἐν οὖν τῇ Σάμῳ καὶ τὴν Ἰάδα ἠσκήθη διάλεκτον καὶ ἔγραψεν ἱστορίαν ἐν βιβλίοις θ, ἀρξάμενος ἀπὸ Κύρου τοῦ Πέρσου καὶ Κανδαύλου τοῦ Λυδῶν βασιλέως. ἐλθὼν δὲ εἰς ἁλικαρνασσὸν καὶ τὸν τύραννον ἐξελάσας, ἐπειδὴ ὕστερον εἶδεν ἑαυτὸν φθονούμενον ὑπὸ τῶν πολιτῶν, εἰς τὸ Θούριον ἀποικιζόμενον ὑπὸ Ἀθηναίων ἐθελοντὴς ἦλθε κἀκεῖ τελευτήσας ἐπὶ τῆς ἀγορᾶς τέθαπται. τινὲς δὲ ἐν Πέλλαις αὐτὸν τελευτῆσαί φασιν. ἐπιγράφονται δὲ οἱ λόγοι αὐτοῦ Μοῦσαι.

A halikarnassosi Dionysios történetíró volt, aki Augustus korában Rómában tanította az ékesszólás szabályait. A szónokokról és történetírókról írt elemzéseit az a meggyőződése hatja át, hogy a klasszikus, tehát attikai nyelvi stílust és történetírói hagyományt fölülmúlni már nem, csak utánozni lehet. Célja tehát az, hogy az egyes íróknál követésre érdemes jellegzetességeket számba vegye és segédletként a tanulók elé tárja, vagy saját munkájában hasznosítsa. Hérodotosról alkotott értékelése egyedülálló, hiszen ellentétben áll szinte az összes antik testimoniummal.

Εἰ δὲ δεῖ καὶ περὶ αὐτῶν εἰπεῖν, περὶ μὲν Ἡροδότου καὶ Θουκυδίδου ταῦτα φρονῶ. πρῶτόν τε καὶ σχεδὸν ἀναγκαιότατον ἔργον ἁπάντων ἐστὶ τοῖς γράφουσιν πᾶσιν ἱστορίας ὑπόθεσιν ἐκλέξασθαι καλὴν καὶ κεχαρισμένην τοῖς ἀναγνωσομένοις. τοῦτο Ἡρόδοτος κρεῖττόν μοι δοκεῖ πεποιηκέναι Θουκυδίδου. ἐκεῖνος μὲν γὰρ κοινὴν Ἑλληνικῶν τε καὶ βαρβαρικῶν πράξεων ἐξενήνοχεν ἱστορίαν, «ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων ἐξίτηλα γένηται, μήτε ἔργα» ... καὶ ἅπερ αὐτὸς εἴρηκε. τὸ γὰρ αὐτὸ προοίμιον καὶ ἀρχὴ καὶ τέλος ἐστὶ τῆς ἱστορίας. ὁ δὲ Θουκυδίδης πόλεμον ἕνα γράφει, καὶ τοῦτον οὔτε καλὸν οὔτε εὐτυχῆ· ὃς μάλιστα μὲν ὤφειλε μὴ γενέσθαι, εἰ δὲ μή, σιωπῇ καὶ λήθῃ παραδοθεὶς ὑπὸ τῶν ἐπιγιγνομένων ἠγνοῆσθαι. ὅτι δὲ πονηρὰν εἵληφεν ὑπόθεσιν, καὶ αὐτός γε τοῦτο ποιεῖ φανερὸν ἐν τῷ προοιμίῳ· πόλεις τε γὰρ δι' αὐτὸν ἐξερημωθῆναί φησι πολλὰς Ἑλληνίδας, τὰς μὲν ὑπὸ βαρβάρων, τὰς δ' ὑπὸ σφῶν αὐτῶν, καὶ φυγαδείας καὶ φθόρους ἀνθρώπων ὅσους οὔπω πρότερον γενέσθαι, σεισμούς τε καὶ αὐχμοὺς καὶ νόσους καὶ ἄλλας πολλὰς συμφοράς. ὥστε τοὺς ἀναγνόντας τὸ προοίμιον ἠλλοτριῶσθαι πρὸς τὴν ὑπόθεσιν, Ἑλληνικῶν μέλλοντας ἀκούειν. ὅσῳ δὲ κρείττων ἡ τὰ θαυμαστὰ ἔργα δηλοῦσα Ἑλλήνων τε καὶ βαρβάρων γραφὴ τῆς τὰ οἰκτρὰ καὶ δεινὰ πάθη τῶν Ἑλλήνων διαγγελλούσης, τοσούτῳ φρονιμώτερος Ἡρόδοτος Θουκυδίδου κατὰ τὴν ἐκλογὴν τῆς ὑποθέσεως. οὐδὲ γὰρ οὐδὲ τοῦτο ἔνεστιν εἰπεῖν, ὅτι δι' ἀνάγκην ἦλθεν ἐπὶ ταύτην τὴν γραφήν, ἐπιστάμενος μὲν ὡς ἐκεῖνα καλλίω, βουλόμενος δὲ μὴ ταὐτὰ ἑτέροις γράφειν· πᾶν γὰρ τοὐναντίον ἐν τῷ προοιμίῳ διασύρων τὰ παλαιὰ ἔργα κάλλιστα καὶ θαυμασιώτατα τὰ καθ' αὐτὸν ἐπιτελεσθέντα φησὶν εἶναι, καὶ φανερός ἐστι ταῦτα ἑκὼν ἑλόμενος. οὐ μὴν Ἡρόδοτός γε τοῦτο ἐποίησεν,

ἀλλὰ τῶν πρὸ αὐτοῦ συγγραφέων γενομένων Ἑλλανίκου τε καὶ Χάρωνος τὴν αὐτὴν ὑπόθεσιν προεκδεδωκότων οὐκ ἀπετράπετο, ἀλλ' ἐπίστευσεν αὐτῷ κρεῖσσόν τι ἐξοίσειν· ὅπερ καὶ πεποίηκεν.

Δεύτερόν ἐστι τῆς ἱστορικῆς πραγματείας ἔργον γνῶναι πόθεν τε ἄρξασθαι καὶ μέχρι τοῦ προελθεῖν δεῖ. φαίνεται δὴ κἀν τούτῳ Θουκυδίδου πολὺ Ἡρόδοτος φρονιμώτερος· ἄρχεταί τε ἀφ' ἧς αἰτίας ἤρξαντο πρῶτον κακῶς ποιεῖν τοὺς Ἕλληνας οἱ βάρβαροι, καὶ προελθὼν εἰς τὴν τῶν βαρβάρων κόλασιν καὶ τιμωρίαν λήγει. ὁ δὲ Θουκυδίδης ἀρχὴν μὲν ἐποιήσατο ἀφ' ἧς ἤρξατο κακῶς πράττειν τὸ Ἑλληνικόν· ὅπερ Ἕλληνα ὄντα καὶ Ἀθηναῖον οὐκ ἔδει ποιεῖν (καὶ ταῦτα οὐ τῶν ἀπερριμμένων ὄντα, ἀλλ' ὧν ἐν πρώτοις ἦγον Ἀθηναῖοι στρατηγιῶν τε καὶ τῶν ἄλλων τιμῶν ἀξιοῦντες)· καὶ οὕτω γε φθονερῶς, ὥστε καὶ τῇ πόλει τῇ ἑαυτοῦ τὰς φανερὰς αἰτίας τοῦ πολέμου περιάπτειν, ἑτέραις ἔχοντα πολλαῖς ἁφορμαῖς περιάψαι τὰς αἰτίας, καὶ ἄρξασθαί γε τῆς διηγήσεως μὴ ἀπὸ τῶν Κερκυραϊκῶν, ἀλλ' ἀπὸ τῶν κρατίστων τῆς πατρίδος ἔργων, ἃ μετὰ τὸν Περσικὸν πόλεμον εὐθὺς ἔπραξεν (ὧν ὕστερον οὐκ ἐν ἐπιτηδείῳ τόπῳ μνήμην ἐποιήσατο φαύλως πως καὶ ἐξ ἐπιδρομῆσ), διελθόντα δὲ ταῦτα μετὰ πολλῆς εὐνοίας ὡς ἄνδρα φιλόπολιν ἔπειτ' ἐπενεγκεῖν, ὅτι τούτων φθόνῳ καὶ δέει προελθόντες Λακεδαιμόνιοι προφάσεις ὑποθέντες ἑτεροίας ἦλθον ἐπὶ τὸν πόλεμον, καὶ τότε λέγειν τὰ Κερκυραϊκὰ καὶ τὸ κατὰ Μεγαρέων ψήφισμα καὶ εἴ τι ἄλλο τοιοῦτο λέγειν ἐβούλετο. τὰ δ' ἐν τέλει πλείονος ἁμαρτίας πλήρη· καίπερ γὰρ λέγων ὅτι παντὶ τῷ πολέμῳ παρεγένετο, καὶ πάντα δηλώσειν ὑποσχόμενος, εἰς τὴν ναυμαχίαν τελευτᾷ τὴν περὶ Κυνὸς σῆμα γεγενημένην Ἀθηναίων καὶ Πελοποννησίων, ἣ συνέβη κατὰ ἔτος εἰκοστὸν καὶ δεύτερον. κρεῖττον δὲ ἦν διεξελθόντα πάντα τελευτὴν ποιήσασθαι τῆς ἱστορίας τὴν θαυμασιωτάτην καὶ μάλιστα τοῖς ἀκούουσι κεχαρισμένην, τὴν κάθοδον τῶν φυγάδων τῶν ἀπὸ Φυλῆς ἀφ' ὧν ἡ πόλις ἀρξαμένη τὴν ἐλευθερίαν ἀνεκομίσατο.

Τρίτον ἐστὶν ἀνδρὸς ἱστορικοῦ σκοπεῖν, τίνα τε δεῖ παραλαβεῖν ἐπὶ τὴν γραφὴν πράγματα καὶ τίνα παραλιπεῖν. δοκεῖ δή μοι κἀν τούτῳ λείπεσθαι Θουκυδίδης. συνειδὼς γὰρ Ἡρόδοτος, ὅτι πᾶσα μῆκος ἔχουσα πολὺ διήγησις ἂν μὲν ἀναπαύσεις τινὰς λαμβάνῃ, τὰς ψυχὰς τῶν ἀκροωμένων ἡδέως διατίθησιν, ἐὰν δὲ ἐπὶ τῶν αὐτῶν μένῃ πραγμάτων, κἂν τὰ μάλιστα ἐπιτυγχάνηται, λυπεῖ τὴν ἀκοὴν τῷ κόρῳ, ποικίλην ἐβουλήθη ποιῆσαι τὴν γραφὴν Ὁμήρου ζηλωτὴς γενόμενος· καὶ γὰρ τὸ βυβλίον ἦν αὐτοῦ λάβωμεν, μέχρι τῆς ἐσχάτης συλλαβῆς ἀγάμεθα καὶ ἀεὶ τὸ πλέον ἐπιζητοῦμεν. Θουκυδίδης δὲ πόλεμον ἕνα κατατείνας ἀπνευστὶ διεξέρχεται μάχας ἐπὶ μάχαις καὶ παρασκευὰς ἐπὶ παρασκευαῖς καὶ λόγους ἐπὶ λόγοις συντιθείς· ὥστε μοχθεῖν μὲν τὴν διάνοιαν τῶν ἀκροωμένων, «κόρον δ' ἔχει» φησὶν ὁ Πίνδαρος «καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' ἀφροδίσια». ἤδη δ' ὃ λέγω κἀκεῖνος ἐνεθυμήθη, ὡς ἡδὺ χρῆμα ἐν ἱστορίας γραφῇ μεταβολὴ καὶ ποικίλον, καὶ τοῦτο ἐν δύο ἢ τρισὶ τόποις ἐποίησεν, ἐπί τε τῆς Ὀδρυσῶν ἀρχῆς, δι' ἃς αἰτίας ἐγένετο μεγάλη, καὶ ἐπὶ τῶν ἐν Σικελίᾳ πόλεων.

Μετὰ τοῦτο ἔργον ἐστὶν ἱστορικοῦ διελέσθαι τε καὶ τάξαι τῶν δηλουμένων ἕκαστον ἐν ᾧ δεῖ τόπῳ. πῶς οὖν ἑκάτερος διαιρεῖται καὶ τάττει τὰ λεγόμενα; Θουκυδίδης μὲν τοῖς χρόνοις ἀκολουθῶν, Ἡρόδοτος δὲ ταῖς περιοχαῖς τῶν πραγμάτων. καὶ γίγνεται Θουκυδίδης μὲν ἀσαφὴς καὶ δυσπαρακολούθητος· πολλῶν γὰρ κατὰ τὸ αὐτὸ θέρος ἢ τὸν αὐτὸν χειμῶνα γιγνομένων ἐν διαφόροις ὡς εἰκὸς τόποις, ἡμιτελεῖς τὰς πρώτας πράξεις καταλιπὼν ἑτέρων ἅπτεται τῶν κατὰ θέρος ἢ τὸν αὐτὸν χειμῶνα γιγνομένων· πλανώμεθα δὴ καθάπερ εἰκός, καὶ δυσκόλως τοῖς δηλουμένοις παρακολουθοῦμεν ταραττομένης τῆς διανοίας. Ἡρόδοτος δὲ ἀπὸ τῆς Λυδῶν βασιλείας ἀρξάμενος καὶ μέχρι τῆς Κροίσου καταβὰς ἐπὶ Κῦρον εὐθέως τὸν καταλύσαντα τὴν Κροίσου ἀρχὴν μεταβαίνει, Αἰγυπτίων τε ἄρχεται διηγημάτων καὶ Σκυθικῶν καὶ Λιβυκῶν, τὰ μὲν ὡς ἀκόλουθα δηλῶν, τὰ δὲ ὡς

ἐπιζητούμενα προσαναλαμβάνων, τὰ δ' ὡς χαριεστέραν ποιήσοντα τὴν διήγησιν ἐπεισάγων· διεξελθών τε πράξεις Ἑλλήνων τε καὶ βαρβάρων ἔτεσιν ὁμοῦ διακοσίοις καὶ εἴκοσι γενομένας ἐν ταῖς τρισὶν ἠπείροις καὶ παραγράψας τῆς Ξέρξου φυγῆς τὴν ἱστορίαν οὐ διέσπασε τὴν διήγησιν· ἀλλὰ συμβέβηκε τῷ μὲν μίαν ὑπόθεσιν λαβόντι πολλὰ ποιῆσαι μέρη τὸ ἓν σῶμα, τῷ δὲ τὰς πολλὰς καὶ οὐδὲν ἐοικυίας ὑποθέσεις προελομένῳ σύμφωνον ἓν σῶμα πεποιηκέναι.

Μιᾶς δ' ἰδέας ἐπιμνησθήσομαι πραγματικῆς, ἣν οὐδεμιᾶς τῶν εἰρημένων ἧττον ἐν ἁπάσαις ἱστορίαις ζητοῦμεν, τὴν αὐτοῦ τοῦ συγγραφέως διάθεσιν, ᾗ κέχρηται πρὸς τὰ πράγματα περὶ ὧν γράφει· ἡ μὲν Ἡροδότου διάθεσις ἐν ἅπασιν ἐπιεικὴς καὶ τοῖς μὲν ἀγαθοῖς συνηδομένη, τοῖς δὲ κακοῖς συναλγοῦσα· ἡ δὲ Θουκυδίδου διάθεσις αὐθέκαστός τις καὶ πικρὰ καὶ τῇ πατρίδι τῆς φυγῆς μνησικακοῦσα. τὰ μὲν γὰρ ἁμαρτήματα ἐπεξέρχεται καὶ μάλα ἀκριβῶς, τῶν δὲ κατὰ νοῦν κεχωρηκότων καθάπαξ οὐ μέμνηται, ἢ ὥςπερ ἠναγκασμένος. Καὶ κατὰ μὲν τὸν πραγματικὸν τόπον ἥττων ἐστὶν Ἡροδότου διὰ ταῦτα Θουκυδίδης· κατὰ δὲ τὸν λεκτικὸν τὰ μὲν ἥττων, τὰ δὲ κρείττων, τὰ δ' ἴσος. ἐρῶ δὲ καὶ περὶ τούτων, ὡς ὑπείληφα. Πρώτη τῶν ἀρετῶν γένοιτ' ἄν, ἧς χωρὶς οὐδὲ τῶν ἄλλων τῶν περὶ τοὺς λόγους ὄφελός τι, ἡ καθαρὰ τοῖς ὀνόμασι καὶ τὸν Ἑλληνικὸν χαρακτῆρα σῴζουσα διάλεκτος. ταύτην ἀκριβοῦσιν ἀμφότεροι· Ἡρόδοτός τε γὰρ τῆς Ἰάδος ἄριστος κανὼν Θουκυδίδης τε τῆς Ἀτθίδος. τρίτην ἔχει χώραν ἡ καλουμένη συντομία· ἐν ταύτῃ δοκεῖ προέχειν Ἡροδότου Θουκυδίδης. καίτοι λέγοι τις ἄν, ὡς μετὰ τοῦ σαφοῦς ἐξεταζόμενον ἤδὺ φαίνεται τὸ βραχύ· εἰ δὲ ἀπολείποιτο τούτου, πικρόν· ἀλλὰ μηδὲν ἧττων ἔστω παρὰ τοῦτο. ἐνάργεια μετὰ ταῦτα τέτακται πρώτη μὲν τῶν ἐπιθέτων ἀρετῶν· ἱκανῶς ἐν ταύτῃ κατορθοῦσιν ἀμφότεροι. μετὰ ταύτην συνίσταται τὴν ἀρετὴν τῶν ἠθῶν τε καὶ παθῶν μίμησις· διῄρηνται τὴν ἀρετὴν ταύτην οἱ συγγραφεῖς· Θουκυδίδης μὲν γὰρ τὰ πάθη δηλῶσαι κρείττων, Ἡρόδοτος δὲ τά γε ἤθη παραστῆσαι δεινότερος. μετὰ ταῦτα αἱ τὸ μέγα καὶ θαυμαστὸν ἐκφαίνουσαι τῆς κατασκευῆς ἀρεταί· ἴσοι κἀν ταύταις οἱ συγγραφεῖς. ἔπονται ταύταις αἱ τὴν ἰσχὺν καὶ τὸν τόνον καὶ τὰς ὁμοιοτρόπους δυνάμεις τῆς φράσεως ἀρεταὶ περιέχουσαι· κρείττων ἐν ταύταις Ἡροδότου Θουκυδίδης. ἡδονὴν δὲ καὶ πειθὼ καὶ τέρψιν καὶ τὰς ὁμοιογενεῖς ἀρετὰς εἰσφέρεται μακρῷ Θουκυδίδου κρείττονας Ἡρόδοτος. τῆς δὲ φράσεως τῶν ὀνομάτων τὸ μὲν κατὰ φύσιν Ἡρόδοτος ἐζήλωκε, τὸ δὲ δεινὸν Θουκυδίδης. λείπει πασῶν ἐν λόγοις ἀρετῶν ἡ κυριωτάτη τὸ πρέπον· ταύτην ὁ Ἡρόδοτος ἀκριβοῖ μᾶλλον ἢ Θουκυδίδης· ὁμοειδὴς γὰρ οὗτος ἐν πᾶσι, κἀν ταῖς δημηγορίαις μᾶλλον ἢ ταῖς διηγήσεσιν· ἐμοὶ μέντοι καὶ τῷ φιλτάτῳ Καικιλίῳ δοκεῖ τὰ ἐνθυμήματα αὐτοῦ μάλιστα μιμήσασθαί τε καὶ ζηλῶσαι Δημοσθένης. Ἵνα δὲ συνελὼν εἴπω, καλαὶ μὲν αἱ ποιήσεις ἀμφότεραι (οὐ γὰρ ἂν αἰσχυνθείην ποιήσεις αὐτὰς λέγων), διαφέρουσι δὲ κατὰ τοῦτο μάλιστα ἀλλήλων, ὅτι τὸ μὲν Ἡροδότου κάλλος ἰλαρόν ἐστι, φοβερὸν δὲ τὸ Θουκυδίδου. ἀπόχρη ταῦτα εἰρῆσθαι περὶ τούτων τῶν συγγραφέων, πολλῶν καὶ ἄλλων ἐνόντων λέγεσθαι, περὶ ὧν καὶ ἕτερος ἔσται καιρός.

A tarsosi Hermogenés, aki a Kr.u. II. században írt szónoklattani munkáival az ékesszólás tanításának a bizánci korig meghatározó irányt szabott, Hérodotos ión nyelvjárására a ποικίλη jelzőt használta.

Ἑκαταῖος δὲ ὁ Μιλήσιος, παρ' οὗ δὴ μάλιστα ὠφέληται ὁ Ἡρόδοτος, καθαρὸς μέν ἐστι καὶ σαφής, ἐν δέ τισι καὶ ἡδὺς οὐ μετρίως· τῇ διαλέκτῳ δὲ ἀκράτῳ Ἰάδι καὶ οὐ μεμιγμένῃ χρησάμενος οὐδὲ κατὰ τὸν Ἡρόδοτον ποικίλῃ.

Az ión nyelvjárás néhány sajátossága Hérodotosnál az attikai nyelvjáráshoz képest

1. Néhány szóban a tenuis és az aspirata mássalhangzó felcserélődhet.
2. A praepositiók akár elisióban, akár praeverbiumként nem aspirálódnak aspiráták előtt.
3. π helyett κ áll bizonyos adverbiumokban és pronomen indefinitumokban.
4. Kettős sigma (σσ) áll ott, ahol az attikaiban ττ.
5. αι áll α helyett; ει áll ε helyett; ε áll ει helyett; ου áll ο helyett; ω áll ου helyett; ω áll αυ helyett.
6. A hérodotosi krasis sajátossága, hogy ἐμέο αὐτοῦ-ból ἐμεωυτοῦ, σέο αὐτοῦ-ból σεωυτοῦ, ὁ αὐτός-ból ὡυτός, τὠυτό stb. lesz.
7. Az εια és ειος végű főnevekben, illetve melléknevekben nyújtás és diairesis hatására ηιη, ill. ηιος áll. Ugyanez a jelenség igéknél is előfordul.
8. A pronomen reflexivum összevonása során εαυ helyett εωυ áll.
9. Az alpha tövű főnévragozásban a pl. dat. -αις ragja helyett általában -ῃσι áll, a pl. gen.-ban az összevont ω helyett εω áll.
10. Az alpha purum helyett gyakorta η áll. Ilyen esetben az alpha tövű főnévragozás singularisában mindvégig η áll, az -εια végűeknél csak a sg. gen.-ban és dat.-ban jelenik meg az η.
11. Az omikron tövű névszóragozásban a pl. dat.-ban -οις helyett -οισι áll.
12. Az alpha és omikron tövű névszóragozás attikaiban összevont alakjai összevonás nélkül képeztetnek.
13. A βασιλεύς, ναῦς, illetve a πόλις ragozása metathesis előtti, a dat.-ban összevonás illetve a tővégi ι kiesése előtti állapotot mutat esetleges magánhangzó-rövidüléssel.
14. Az -ες, és -υ tövű fő-és melléknevek összevonás előtti állapotot mutatnak.
15. A -κλῆς végű tulajdonnevek genitivusa -κλεους helyett -κλεος.
16. Az -ω végű tulajdonnevek acc.-a -ω helyett -ουν.
17. A pronomen possessivum sg.1. személye, valamint a pronomen relativum sg. gen.-a összevonást nem mutat.
18. A pronomen personale sg.2. személy dat.-a σοί helyett τοί, a sg. 3. személy acc.-a αὐτόν helyett μίν, dat.-a αὐτῷ/αὐτῇ helyett οἱ.
19. A pronomen personale pl.1., 2., és az attikaiban jobbára visszaható jelentésű 3. (σφεῖς) személyek acc.-ban és gen.-ban az attikaival szemben összevonást nem mutatnak. A neutrumban αὐτά helyett σφέα, az αὐτοῖς, αὐταῖς helyett σφί, a reflexív ἑαυτοῖς, ἑαυταῖς helyett σφίσι áll.
20. A pronomen relativum sg. és pl. nom.-ban csak neutrumban, ugyanakkor mindhárom nem további eseteiben kezdő τ jelenik meg.
21. A határozott névelő néhol őrzi még eredeti mutató névmási jelentését.
22. Az augmentum temporale, valamint a reduplicatio nem jelenik meg az eredetileg *ϝ*-val illetve *s > h-val kezdődő igéknél, tehát az attikai εἰ- augmentált / reduplikált alakkal ellentétben az igealak elején nincs változás. Kivétel pl.: εἶχον.
23. Az attikai mássalhangzós tövek passzív pf. pl. 3. alakok körülírt képzésével ellentétben a sonans n̥ α-vá alakul ται és το végződések előtt minden ige passzív pr. és praet. pf. pl. 3. személyeiben (a tő végén álló hosszú magánhangzó megrövidül, a K- és P-hang

aspirálódik), valamint a μι-végű igék passzív pr. ipf.ű pl. 3. személyében és minden mediális és passiv optativusi alakban.
24. A passivum és a medium sg. 2. személyében az attikaiban összevont kötőhangzó, személyrag (ῃ / ει illetve ου) összevonatlanul állhat (εαι illetve εο). A med. aor. sg. 2. személy -ω összevonást nem mutat, így -αο.
25. A μι-végű igék, valamint ezek ragozását analogikusan követő igék ao. 2. coni.-ban az összevont -ῶ helyett az összevonatlan -έω áll.
26. A participiumok és az -έω végű valódi magánhangzón végződő tövek az imperfecta actióban szinte kivétel nélkül mellőzik az attikaiban jellemző magánhangzó-összevonásokat. Összevonás az έω-végű igéknek csak azokban az alakjaiban figyelhető meg, ahol egy további magánhangzó áll a végződés előtt. Az εο és εου ευ-vá vonatik össze ποιεῦσι, ποιεῦντες mintájára.
27. A τίθημι, ἵστημι, δίδωμι valamint – hangsúlyozásbéli sajátosságokkal – a ἵημι ige az -έω, -άω, -όω-végű igék képzésének analógiájára a pr. ipf. sg. 2. és pl. 2., 3. személyeket thematikusan képezi.
28. A δείκνυμι típusú igék a pl. 3. személyt thematikusan képezik, tehát végződésük -ουσι.

A könnyebb hivatkozás végett a Hérodotos-szemelvények közül az első három mondatait – kerek zárójelben – folyamatos sorszámozással láttuk el. Ezen számokra utalnak a jegyzetek.
A jegyzetekben kötőjellel választottuk el a szemelvényekből kiemelt ión alakokat attikai megfelelőiktől. Az i. (ión alak) rövidítéssel jelöltük meg azokat a szavakat, amelyek nem jellemzőek az attikai prózára, illetve költői, vagy sajátos hérodotosi alakok. Ilyen esetekben az értelmileg, alakilag legközelebb álló attikai alakot adtuk meg. Az ión nyelvjárás vonatkozó sajátosságára arab számmal utalunk. Az első három szemelvény esetében igyekeztünk minden ión alakot (a Homéros idézeteket kivéve) átírni.

I. A mű bevezetése

(1) Ἡροδότου Ἁλικαρνασσέος ἱστορίης ἀπόδεξις ἥδε, ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται, μήτε ἔργα μεγάλα τε καὶ θωμαστά, τὰ μὲν Ἕλλησι, τὰ δὲ βαρβάροισι ἀποδεχθέντα, ἀκλέα γένηται, τά τε ἄλλα καὶ δι' ἣν αἰτίην ἐπολέμησαν ἀλλήλοισι.

(2) Περσέων μέν νυν οἱ λόγιοι Φοίνικας αἰτίους φασὶ γενέσθαι τῆς διαφορῆς· τούτους γάρ, ἀπὸ τῆς Ἐρυθρῆς καλεομένης θαλάσσης ἀπικομένους ἐπὶ τήνδε τὴν θάλασσαν καὶ οἰκήσαντας τοῦτον τὸν χῶρον τὸν καὶ νῦν οἰκέουσι, αὐτίκα ναυτιλίῃσι μακρῇσι ἐπιθέσθαι, ἀπαγινέοντας δὲ φορτία Αἰγύπτιά τε καὶ Ἀσσύρια τῇ τε ἄλλῃ χώρῃ ἐσαπικνέεσθαι καὶ δὴ καὶ ἐς Ἄργος· τὸ δὲ Ἄργος τοῦτον τὸν χρόνον προεῖχε ἅπασι τῶν ἐν τῇ νῦν Ἑλλάδι καλεομένῃ χώρῃ. (3) Ἀπικομένους δὲ τοὺς Φοίνικας ἐς δὴ τὸ Ἄργος τοῦτο διατίθεσθαι τὸν φόρτον. (4) Πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπ' ἧς ἀπίκοντο, ἐξεμπολημένων σφι σχεδὸν πάντων, ἐλθεῖν ἐπὶ τὴν θάλασσαν γυναῖκας ἄλλας τε πολλὰς καὶ δὴ καὶ τοῦ βασιλέος θυγατέρα· τὸ δέ οἱ οὔνομα εἶναι, κατὰ τὠυτὸ τὸ καὶ Ἕλληνες λέγουσι, Ἰοῦν τὴν Ἰνάχου. (5) Ταύτας στάσας κατὰ πρύμνην τῆς νεὸς ὠνέεσθαι τῶν φορτίων τῶν σφι ἦν θυμὸς μάλιστα, καὶ τοὺς Φοίνικας διακελευσαμένους ὁρμῆσαι ἐπ' αὐτάς. (6) Τὰς μὲν δὴ πλέονας τῶν γυναικῶν ἀποφυγεῖν, τὴν δὲ Ἰοῦν σὺν ἄλλῃσι ἁρπασθῆναι· ἐσβαλομένους δὲ ἐς τὴν νέα οἴχεσθαι ἀποπλέοντας ἐπ' Αἰγύπτου.

(7) Οὕτω μὲν Ἰοῦν ἐς Αἴγυπτον ἀπικέσθαι λέγουσι Πέρσαι, οὐκ ὡς Ἕλληνες, καὶ τῶν ἀδικημάτων πρῶτον τοῦτο ἄρξαι· μετὰ δὲ ταῦτα Ἑλλήνων τινάς (οὐ γὰρ ἔχουσι τοὔνομα ἀπηγήσασθαι) φασὶ τῆς Φοινίκης ἐς Τύρον προσσχόντας ἁρπάσαι τοῦ βασιλέος τὴν θυγατέρα Εὐρώπην· εἴησαν δ' ἂν οὗτοι Κρῆτες. (8) Ταῦτα μὲν δὴ ἴσα πρὸς ἴσα σφι γενέσθαι· μετὰ δὲ ταῦτα Ἕλληνας αἰτίους τῆς δευτέρης ἀδικίης γενέσθαι. (9) Καταπλώσαντας γὰρ μακρῇ νηῒ ἐς Αἶάν τε τὴν Κολχίδα καὶ ἐπὶ Φᾶσιν ποταμόν, ἐνθεῦτεν, διαπρηξαμένους καὶ τἆλλα τῶν εἵνεκεν ἀπίκατο, ἁρπάσαι τοῦ βασιλέος τὴν θυγατέρα Μηδείην. (10) Πέμψαντα δὲ τὸν Κόλχων βασιλέα ἐς τὴν Ἑλλάδα κήρυκα αἰτέειν τε δίκας τῆς ἁρπαγῆς καὶ

1 Ἁλικαρνασσέος-Ἁλικαρνασσέως 13. | ἱστορίης-ἱστορίας 10. | ἀπόδεξις-ἀπόδειξις 5. | θωμαστά-θαυμαστά 5. | βαρβάροισι-βαρβάροις 11. | ἀποδεχθέντα-ἀποδειχθέντα 5. | αἰτίην-αἰτίαν 10. | ἀλλήλοισι-ἀλλήλοις 11. || 2 Περσέων-Περσῶν 9. | διαφορῆς-διαφορᾶς 10. | Ἐρυθρῆς-Ἐρυθρᾶς 10. | καλεομένης-καλουμένης 26. | θαλάσσης-θαλάττης 4. | ἀπικομένους-ἀφικομένους 2. | θαλάσσαν-θαλάτταν 4. | οἰκέουσι-οἰκοῦσι 26. | ναυτιλίῃσι μακρῇσι-ναυτιλίαις μακραῖς 9. | ἀπαγινέοντας i.-ἀπάγοντας | χώρῃ-χώρᾳ 10. | ἐσαπικνέεσθαι-εἰσαφικνεῖσθαι 2./5./26. | ἐς-εἰς 5. | καλεομένῃ-καλουμένῃ 26. | χώρῃ-χώρᾳ 10. || 3 ἀπικομένους-ἀφικομένους 2. | ἐς-εἰς 5. || 4 ἡμέρῃ-ἡμέρᾳ 10. | ἀπ' ἧς ἀπίκοντο-ἀφ' ἧς ἀφίκοντο 2. | σφί-αὐτοῖς 19. | θαλάσσαν-θαλάτταν 4. | βασιλέος-βασιλέως 13. | οἱ-αὐτῇ 18. | οὔνομα-ὄνομα 5. | τὠυτό-ταὐτό 8. | Ἰοῦν-Ἰώ 16. || 5 νεός-νέως 13. | ὠνέεσθαι-ὠνεῖσθαι 26. | σφί-αὐτοῖς 19. || 6 πλέονας i.-πλείονας | Ἰοῦν-Ἰώ 16. | ἄλλῃσι-ἄλλαις 9. | ἐσβαλομένους-εἰσβαλομένους 5. | ἐς-εἰς 5. | νέα-ναῦν 13. || 7 Ἰοῦν-Ἰώ 16. | ἐς-εἰς 5. | ἀπικέθσαι-ἀφικέσθαι 2. | ἀπηγήσασθαι-ἀφηγήσασθαι 2. | ἐς-εἰς 5. | βασιλέος-βασιλέως 13. || 8 σφί-αὐτοῖς 19. | δευτέρης ἀδικίης-δευτέρας ἀδικίας 10. || 9 καταπλώσαντας i.-καταπλεύσαντας. | μακρῇ-μακρᾷ 10. | ἐς-εἰς 5. | ἐνθεῦτεν-ἐντεῦθεν 1. | διαπρηξαμένους-διαπραξαμένους 10. | τῶν-ὧν 20. | εἵνεκεν-ἕνεκα 5. | ἀπίκατο-ἀφιγμένοι ἦσαν 2./23. | βασιλέος-βασιλέως 13. | Μηδείην-Μηδείαν 10. || 10 ἐς-εἰς 5. | αἰτέειν-αἰτεῖν 26. |

ἀπαιτέειν τὴν θυγατέρα· τοὺς δὲ ὑποκρίνασθαι ὡς οὐδὲ ἐκεῖνοι Ἰοῦς τῆς Ἀργείης ἔδοσάν σφι δίκας τῆς ἁρπαγῆς· οὐδὲ ὧν αὐτοὶ δώσειν ἐκείνοισι.

(11) Δευτέρῃ δὲ λέγουσι γενεῇ μετὰ ταῦτα Ἀλέξανδρον τὸν Πριάμου ἀκηκοότα ταῦτα ἐθελῆσαί οἱ ἐκ τῆς Ἑλλάδος δι' ἁρπαγῆς γενέσθαι γυναῖκα, ἐπιστάμενον πάντως ὅτι οὐ δώσει δίκας· οὐδὲ γὰρ ἐκείνους διδόναι. (12) Οὕτω δὴ ἁρπάσαντος αὐτοῦ Ἑλένην, τοῖσι Ἕλλησι δόξαι πρῶτον πέμψαντας ἀγγέλους ἀπαιτέειν τε Ἑλένην καὶ δίκας τῆς ἁρπαγῆς αἰτέειν. (13) Τοὺς δὲ προϊσχομένων ταῦτα προφέρειν σφι Μηδείης τὴν ἁρπαγήν, ὡς οὐ δόντες αὐτοὶ δίκας οὐδὲ ἐκδόντες ἀπαιτεόντων βουλοίατό σφι παρ' ἄλλων δίκας γίνεσθαι.

(14) Μέχρι μὲν ὧν τούτου ἁρπαγὰς μούνας εἶναι παρ' ἀλλήλων, τὸ δὲ ἀπὸ τούτου Ἕλληνας δὴ μεγάλως αἰτίους γενέσθαι· προτέρους γὰρ ἄρξαι στρατεύεσθαι ἐς τὴν Ἀσίην ἢ σφέας ἐς τὴν Εὐρώπην. (15) Τὸ μέν νυν ἁρπάζειν γυναῖκας ἀνδρῶν ἀδίκων νομίζειν ἔργον εἶναι, τὸ δὲ ἁρπασθεισέων σπουδὴν ποιήσασθαι τιμωρέειν ἀνοήτων, τὸ δὲ μηδεμίαν ὥρην ἔχειν ἁρπασθεισέων σωφρόνων· δῆλα γὰρ δὴ ὅτι, εἰ μὴ αὐταὶ ἐβούλοντο, οὐκ ἂν ἡρπάζοντο. (16) Σφέας μὲν δὴ τοὺς ἐκ τῆς Ἀσίης λέγουσι Πέρσαι ἁρπαζομένων τῶν γυναικῶν λόγον οὐδένα ποιήσασθαι, Ἕλληνας δὲ Λακεδαιμονίης εἵνεκεν γυναικὸς στόλον μέγαν συναγεῖραι καὶ ἔπειτα ἐλθόντας ἐς τὴν Ἀσίην τὴν Πριάμου δύναμιν κατελεῖν. (17) Ἀπὸ τούτου αἰεὶ ἡγήσασθαι τὸ Ἑλληνικὸν σφίσι εἶναι πολέμιον. (18) Τὴν γὰρ Ἀσίην καὶ τὰ ἐνοικέοντα ἔθνεα βάρβαρα οἰκηιοῦνται οἱ Πέρσαι, τὴν δὲ Εὐρώπην καὶ τὸ Ἑλληνικὸν ἡγέαται κεχωρίσθαι.

(19) Οὕτω μὲν Πέρσαι λέγουσι γενέσθαι, καὶ διὰ τὴν Ἰλίου ἅλωσιν εὑρίσκουσι σφίσι ἐοῦσαν τὴν ἀρχὴν τῆς ἔχθρης τῆς ἐς τοὺς Ἕλληνας. (20) Περὶ δὲ τῆς Ἰοῦς οὐκ ὁμολογέουσι Πέρσῃσι οὕτω Φοίνικες· οὐ γὰρ ἁρπαγῇ σφέας χρησαμένους λέγουσι ἀγαγεῖν αὐτὴν ἐς Αἴγυπτον, ἀλλ' ὡς ἐν τῷ Ἄργεϊ ἐμίσγετο τῷ ναυκλήρῳ τῆς νεός· ἐπεὶ δὲ ἔμαθε ἔγκυος ἐοῦσα, αἰδεομένη τοὺς τοκέας, οὕτω δὴ ἐθελοντὴν αὐτὴν τοῖσι Φοίνιξι συνεκπλῶσαι, ὡς ἂν μὴ κατάδηλος γένηται. (21) Ταῦτα μέν νυν Πέρσαι τε καὶ Φοίνικες λέγουσι. (22) Ἐγὼ δὲ περὶ μὲν τούτων οὐκ ἔρχομαι ἐρέων ὡς οὕτως ἢ ἄλλως κως ταῦτα ἐγένετο, τὸν δὲ οἶδα αὐτὸς πρῶτον ὑπάρξαντα ἀδίκων ἔργων ἐς τοὺς Ἕλληνας, τοῦτον σημήνας προβήσομαι ἐς τὸ πρόσω τοῦ λόγου, ὁμοίως μικρὰ καὶ μεγάλα ἄστεα ἀνθρώπων ἐπεξιών.

ἀπαιτέειν-ἀπαιτεῖν 26. | Ἀργείης-Ἀργείας 10. | σφί-αὐτοῖς 19. | ὧν-οὖν 5. | ἐκείνοισι-ἐκείνοις 11. || 11 δευτέρῃ-δευτέρᾳ 10. | γενεῇ-γενεᾷ 10. | οἱ-αὐτῷ 18. || 12 τοῖσι-τοῖς 11. | ἀπαιτέειν-ἀπαιτεῖν 26. | αἰτέειν-αἰτεῖν 26. || 13 σφί-αὐτοῖς 19. | Μηδείης-Μηδείας 10. | ἀπαιτεόντων-ἀπαιτούντων 26. | βουλοίατο-βούλοιντο 23. | σφί-αὐτοῖς 19. | γίνεσθαι i.-γίγνεσθαι. || 14 ὧν-οὖν 5. | μούνας-μόνας 5. | ἐς-εἰς 5. | Ἀσίην-Ἀσίαν 10. | σφέας-σφᾶς 19. || 15 ἁρπασθεισέων-ἁρπασθεισῶν 9. | τιμωρέειν-τιμωρεῖν 26. | ὥρην-ὥραν 10. | ἁρπασθεισέων-ἁρπασθεισῶν 9. | δῆλα γὰρ δή i.-δῆλον γὰρ δή. || 16 σφέας-σφᾶς 19. | Ἀσίης-Ἀσίας 10. | Λακεδειμονίης-Λακεδειμονίας 10. | εἵνεκεν-ἕνεκα 5. | ἐς-εἰς 5. | Ἀσίην-Ἀσίαν 10. | κατελεῖν-καθελεῖν 2. || 17 αἰεί-ἀεί 5. | σφίσι-ἑαυτοῖς 19. || 18 Ἀσίην-Ἀσίαν 10. | ἐνοικέοντα-ἐνοικοῦντα 26. | ἔθνεα-ἔθνη 14. | οἰκηιοῦνται-οἰκειοῦνται 7./26. | ἡγέαται-ἡγημένοι εἰσίν 23. || 19 σφίσι-ἑαυτοῖς 19. | ἐοῦσαν-οὖσαν 26. | ἔχθρης-ἔχθρας 10. | ἐς-εἰς 5. || 20 ὁμολογέουσι-ὁμολογοῦσι 26. | Πέρσῃσι-Πέρσαις 9. | σφέας-σφᾶς 19. | ἐς-εἰς 5. | ἐμίσγετο i.-ἐμειγνύετο | νεός-νέως 13. | ἐοῦσα-οὖσα 26. | αἰδεομένη-αἰδουμένη 26. | τοῖσι-τοῖς 11. | συνεκπλῶσαι i.-συνεκπλεῦσαι. || 22 ἔρχομαι ἐρέων-ἔρχομαι ἐρῶν 26. | κώς-πώς 3. | ἐς-εἰς 5. | ἄστεα-ἄστη 14. ||

(23) Τὰ γὰρ τὸ πάλαι μεγάλα ἦν, τὰ πολλὰ αὐτῶν σμικρὰ γέγονε· τὰ δὲ ἐπ᾽ ἐμέο ἦν μεγάλα, πρότερον ἦν σμικρά. (24) Τὴν ἀνθρωπηίην ὧν ἐπιστάμενος εὐδαιμονίην οὐδαμὰ ἐν τωὐτῷ μένουσαν, ἐπιμνήσομαι ἀμφοτέρων ὁμοίως.

II. Helené Egyiptomban

(1) Τούτου δὲ ἐκδέξασθαι τὴν βασιληίην ἔλεγον ἄνδρα Μεμφίτην, τῷ κατὰ τὴν τῶν Ἑλλήνων γλῶσσαν οὔνομα Πρωτέα εἶναι. (2) Τοῦ νῦν τέμενος ἔστι ἐν Μέμφι κάρτα καλόν τε καὶ εὖ ἐσκευασμένον, τοῦ Ἡφαιστείου πρὸς νότον ἄνεμον κείμενον. (3) Περιοικέουσι δὲ τὸ τέμενος τοῦτο Φοίνικες Τύριοι, καλέεται δὲ ὁ χῶρος οὗτος ὁ συνάπας Τυρίων Στρατόπεδον. (4) Ἔστι δὲ ἐν τῷ τεμένεϊ τοῦ Πρωτέος ἱρὸν τὸ καλέεται Ξείνης Ἀφροδίτης. (5) Συμβάλλομαι δὲ τοῦτο τὸ ἱρὸν εἶναι Ἑλένης τῆς Τυνδάρεω, καὶ τὸν λόγον ἀκηκοὼς ὡς διαιτήθη Ἑλένη παρὰ Πρωτέϊ, καὶ δὴ καὶ ὅτι Ξείνης Ἀφροδίτης ἐπώνυμόν ἐστι· ὅσα γὰρ ἄλλα Ἀφροδίτης ἱρά ἐστι, οὐδαμῶς Ξείνης ἐπικαλέεται.

(6) Ἔλεγον δέ μοι οἱ ἱρέες ἱστορέοντι τὰ περὶ Ἑλένην γενέσθαι ὧδε. (7) Ἀλέξανδρον ἁρπάσαντα Ἑλένην ἐκ Σπάρτης ἀποπλέειν ἐς τὴν ἑωυτοῦ· καί μιν, ὡς ἐγένετο ἐν τῷ Αἰγαίῳ, ἐξῶσται ἄνεμοι ἐκβάλλουσι ἐς τὸ Αἰγύπτιον πέλαγος, ἐνθεῦτεν δέ (οὐ γὰρ ἀνίει τὰ πνεύματα) ἀπικνέεται ἐς Αἴγυπτον καὶ Αἰγύπτου ἔς τε τὸ νῦν Κανωβικὸν καλεόμενον στόμα τοῦ Νείλου καὶ ἐς Ταριχηίας. (8) Ἦν δὲ ἐπὶ τῆς ἠιόνος, τὸ καὶ νῦν ἐστι, Ἡρακλέος ἱρόν, ἐς τὸ ἢν καταφυγὼν οἰκέτης ὅτεο ὧν ἀνθρώπων ἐπιβάληται στίγματα ἱρά, ἑωυτὸν διδοὺς τῷ θεῷ, οὐκ ἔξεστι τούτου ἅψασθαι· ὁ νόμος οὗτος διατελέει ἐὼν ὅμοιος τὸ μέχρι ἐμέο ἀπ᾽ ἀρχῆς. (9) Τοῦ ὧν δὴ Ἀλεξάνδρου ἀπιστέαται θεράποντες πυθόμενοι τὸν περὶ τὸ ἱρὸν ἔχοντα νόμον, ἱκέται δὲ ἱζόμενοι τοῦ θεοῦ κατηγόρεον τοῦ Ἀλεξάνδρου, βουλόμενοι βλάπτειν αὐτόν, πάντα λόγον ἐξηγεόμενοι ὡς εἶχε περὶ τὴν Ἑλένην τε καὶ τὴν ἐς Μενέλεων ἀδικίην· κατηγόρεον δὲ ταῦτα πρός τε τοὺς ἱρέας καὶ τὸν τοῦ στόματος τούτου φύλακον, τῷ οὔνομα ἦν Θῶνις.

(10) Ἀκούσας δὲ τούτων ὁ Θῶνις πέμπει τὴν ταχίστην ἐς Μέμφιν παρὰ Πρωτέα ἀγγελίην λέγουσαν τάδε· Ἥκει ξεῖνος, γένος μὲν Τευκρός, ἔργον δὲ ἀνόσιον ἐν τῇ Ἑλλάδι

23 ἐμέο-ἐμοῦ 17. || 24 ἀνθρωπηίην-ἀνθρωπείαν 7. | ὧν-οὖν 5. | εὐδαιμονίην-εὐδαιμονίαν 10. | τωὐτῷ-ταὐτῷ 8. ||| II. 1 βασιληίην-βασιλείαν 7./10. | τῷ-ᾧ 20. | γλῶσσαν-γλῶτταν 4. | οὔνομα-ὄνομα 5. || 2 τοῦ-τούτου 21. | κάρτα i.-μάλα || 3 περιοικέουσι-περιοικοῦσι 26. | καλέεται-καλεῖται 26. || 4 Πρωτέος-Πρωτέως 13. | ἱρόν i.-ἱερόν | τό-ὅ 20. | καλεέται-καλεῖται 26. | Ξείνης-Ξένης 5. || 5 ἱρόν i.-ἱερόν. | Ξείνης-Ξένης 5. | ἱρά i.-ἱερά. | Ξείνης-Ξένης 5. | ἐπικαλέεται-ἐπικαλεῖται 26. || 6 ἱρέες i.-ἱερεῖς 13. | ἱστορέοντι-ἱστοροῦντι 26. || 7 ἀποπλέειν-ἀποπλεῖν 26. | ἐς-εἰς 5. | ἑωυτοῦ-ἑαυτοῦ 8. | μίν-αὐτόν 18. | ἐς-εἰς 5. | ἐνθεῦτεν-ἐντεῦθεν 1. | ἀπικνέεται-ἀφικνεῖται 2./26. | ἐς-εἰς 5. | καλεόμενον-καλούμενον 26. | ἐς-εἰς 5. | Ταριχηίας-Ταριχείας 7. || 8 ἠιόνος i.-ἠόνος. | τό-τοῦτο 21. | Ἡρακλέος-Ἡρακλέους 15 | ἱρόν i.-ἱερόν. | ἐς τό-εἰς ὅ 20. | ὅτεο ὧν-ὅτου/οὕτινος οὖν 17. | ἱρά i.-ἱερά. | ἑωυτόν-ἑαυτόν 8. | διατελέει-διατελεῖ 26. | ἐ-ών-ὤν 26. | ἐμέο-ἐμοῦ 17. || 9 ὧν-οὖν 5. | ἀπιστέαται-ἀφίστανται 2./23. | ἱρόν i.-ἱερόν. | κατηγόρεον-κατηγόρουν 26. | ἐξηγεόμενοι-ἐξηγούμενοι 26. | ἐς-εἰς 5. | ἀδικίην-ἀδικίαν 10. | κατηγόρεον-κατηγόρουν 26. | ἱρέας i.-ἱερέας. | τῷ-ᾧ 20. | οὔνομα-ὄνομα 5. ||

ἐξεργασμένος· ξείνου γὰρ τοῦ ἑωυτοῦ ἐξαπατήσας τὴν γυναῖκα αὐτήν τε ταύτην ἄγων ἥκει καὶ πολλὰ κάρτα χρήματα, ὑπὸ ἀνέμων ἐς γῆν τὴν σὴν ἀπενειχθείς. (11) Κότερα δῆτα τοῦτον ἐῶμεν ἀσινέα ἐκπλέειν ἢ ἀπελώμεθα τὰ ἔχων ἦλθε; (12) Ἀντιπέμπει πρὸς ταῦτα ὁ Πρωτεὺς λέγοντα τάδε· Ἄνδρα τοῦτον, ὅστις κοτέ ἐστι, ἀνόσια ἐργασμένον ξεῖνον τὸν ἑωυτοῦ συλλαβόντες ἀπάγετε παρ' ἐμέ, ἵνα εἰδέω ὅ τι κοτὲ καὶ λέξει.

(13) Ἀκούσας δὲ ταῦτα ὁ Θῶνις συλλαμβάνει τὸν Ἀλέξανδρον καὶ τὰς νέας αὐτοῦ κατίσχει· μετὰ δὲ αὐτόν τε τοῦτον ἀνήγαγε ἐς Μέμφιν καὶ τὴν Ἑλένην τε καὶ τὰ χρήματα, πρὸς δὲ καὶ τοὺς ἱκέτας. (14) Ἀνακομισθέντων δὲ πάντων, εἰρώτα τὸν Ἀλέξανδρον ὁ Πρωτεὺς τίς εἴη καὶ ὁκόθεν πλέοι. (15) Ὁ δέ οἱ καὶ τὸ γένος κατέλεξε καὶ τῆς πάτρης εἶπε τὸ οὔνομα καὶ δὴ καὶ τὸν πλόον ἀπηγήσατο ὁκόθεν πλέοι. (16) Μετὰ δὲ ὁ Πρωτεὺς εἰρώτα αὐτὸν ὁκόθεν τὴν Ἑλένην λάβοι· πλανωμένου δὲ τοῦ Ἀλεξάνδρου ἐν τῷ λόγῳ καὶ οὐ λέγοντος τὴν ἀληθείην, ἤλεγχον οἱ γενόμενοι ἱκέται ἐξηγεόμενοι πάντα λόγον τοῦ ἀδικήματος. (17) Τέλος δὲ δή σφι λόγον τόνδε ἐκφαίνει ὁ Πρωτεύς, λέγων ὅτι· Ἐγὼ εἰ μὴ περὶ πολλοῦ ἡγεόμην μηδένα ξείνων κτείνειν, ὅσοι ὑπ' ἀνέμων ἤδη ἀπολαμφθέντες ἦλθον ἐς χώρην τὴν ἐμήν, ἐγὼ ἄν σε ὑπὲρ τοῦ Ἕλληνος ἐτεισάμην, ὅς, ὦ κάκιστε ἀνδρῶν, ξεινίων τυχὼν ἔργον ἀνοσιώτατον ἐργάσαο. (18) Παρὰ τοῦ σεωυτοῦ ξείνου τὴν γυναῖκα ἦλθες· καὶ μάλα ταῦτά τοι οὐκ ἤρκεσε, ἀλλ' ἀναπτερώσας αὐτὴν οἴχεαι ἔχων ἐκκλέφας. (19) Καὶ οὐδὲ ταῦτά τοι μοῦνα ἤρκεσε, ἀλλὰ καὶ τὰ οἰκία τοῦ ξείνου κεραΐσας ἥκεις. (20) Νῦν ὦν, ἐπειδὴ περὶ πολλοῦ ἥγημαι μὴ ξεινοκτονέειν, γυναῖκα μὲν ταύτην καὶ τὰ χρήματα οὔ τοι προήσω ἀπάγεσθαι, ἀλλ' αὐτὰ ἐγὼ τῷ Ἕλληνι ξείνῳ φυλάξω, ἐς ὃ ἂν αὐτὸς ἐλθὼν ἐκεῖνος ἀπαγαγέσθαι ἐθέλῃ· αὐτὸν δέ σε καὶ τοὺς σοὺς συμπλόους τριῶν ἡμερέων προαγορεύω ἐκ τῆς ἐμῆς γῆς ἐς ἄλλην τινὰ μετορμίζεσθαι, εἰ δὲ μή, ἅτε πολεμίους περιέψεσθαι.

(21) Ἑλένης μὲν ταύτην ἄπιξιν παρὰ Πρωτέα ἔλεγον οἱ ἱρέες γενέσθαι. (22) Δοκέει δέ μοι καὶ Ὅμηρος τὸν λόγον τοῦτον πυθέσθαι· ἀλλ', οὐ γὰρ ὁμοίως ἐς τὴν ἐποποιίην εὐπρεπὴς ἦν τῷ ἑτέρῳ τῷ περ ἐχρήσατο, ἐς ὃ μετῆκε αὐτόν, δηλώσας ὡς καὶ τοῦτον ἐπίσταιτο τὸν λόγον. (23) Δῆλον δέ, κατά περ ἐποίησε ἐν Ἰλιάδι (καὶ οὐδαμῇ ἄλλῃ ἀνεπόδισε

10 ἐς-εἰς 5. | ἀγγελίην-ἀγγελίαν 10. | ξεῖνος-ξένος 5. | ἐξεργασμένος-ἐξειργασμένος 22. | ξείνου-ξένου 5. | ἑωυτοῦ-ἑαυτοῦ 8. | κάρτα i.-μάλα | ἐς-εἰς 5. || 11 κότερα-πότερα 3. | ἀσινέα-ἀσινῆ 14. | ἐκπλέειν-ἐκπλεῖν 26. | ἀπελώμεθα-ἀφελώμεθα 2. | τά-ἅ 20. || 12 κοτέ-ποτέ 2. | ἐργασμένον-εἰργασμένον 22. | ξεῖνον-ξένον 5. | ἑωυτοῦ-ἑαυτοῦ 8. | εἰδέω-εἰδῶ 25. | κοτέ-ποτέ 2. || 13 νέας-ναῦς 13. | ἐς-εἰς 5. || 14 εἰρώτα-ἐρώτα 5. | ὁκόθεν-ὁπόθεν 3. || 15 οἱ-αὐτῷ 18. | πάτρης-πάτρας 10. | οὔνομα-ὄνομα 5. | πλόον-πλοῦν 12. | ἀπηγήσατο-ἀφηγήσατο 2. | ὁκόθεν-ὁπόθεν 3. || 16 εἰρώτα-ἐρώτα 5. | ὁκόθεν-ὁπόθεν 3. | ἀληθείην-ἀλήθειαν 10. | ἐξηγεόμενοι-ἐξηγούμενοι 26. || 17 σφί-αὐτοῖς 19. | ἡγεόμην-ἡγούμην 26. | ξείνων-ξένων 5. | ἀπολαμφθέντες i.-ἀποληφθέντες | ἐς-εἰς 5. | χώρην-χώραν 10. | ξεινίων-ξενίων 5. | ἐργάσαο-εἰργάσω 22./24. || 18 σεωυτοῦ-σεαυτοῦ 8. | ξείνου-ξένου 5. | τοί-σοί 18. | οἴχεαι-οἴχῃ 24. || 19 τοί-σοί 18. | μοῦνα-μόνα 5. | ξείνου-ξένου 5. | κεραΐσας i.-κείρας. || 20 ὦν-οὖν 5. | ξεινοκτονέειν-ξενοκτονεῖν 5./26. | ξείνῳ-ξένῳ 5. | ἐς ὅ i.-ἕως | συμπλόους-συμπλοῦς 12. | ἡμερέων-ἡμερῶν 9. | ἐς-εἰς 5. || 21 ἄπιξιν-ἄφιξιν 2. | ἱρέες i.-ἱερεῖς 13. || 22 δοκέει-δοκεῖ 26. | ἐς-εἰς 5. | ἐποποιίην-ἐποποιίαν 10. | τῷ περ-ᾧπερ 20. | ἐς-εἰς 5. ||

ἑωυτόν) πλάνην τὴν Ἀλεξάνδρου, ὡς ἀπηνείχθη ἄγων Ἑλένην τῇ τε δὴ ἄλλῃ πλαζόμενος καὶ ὡς ἐς Σιδῶνα τῆς Φοινίκης ἀπίκετο. (24) Ἐπιμέμνηται δὲ αὐτοῦ ἐν Διομήδεος Ἀριστηίῃ· λέγει δὲ τὰ ἔπεα ὧδε·

ἔνθ' ἔσαν οἱ πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν
Σιδονίων, τὰς αὐτὸς Ἀλέξανδρος θεοειδὴς
ἤγαγε Σιδονίηθεν, ἐπιπλὼς εὐρέα πόντον,
τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν.

(25) Ἐπιμέμνηται δὲ καὶ ἐν Ὀδυσσείῃ ἐν τοῖσδε τοῖσι ἔπεσι·

τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
ἐσθλά, τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις
Αἰγυπτίη, τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα
φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά.

(26) Καὶ τάδε ἕτερα πρὸς Τηλέμαχον Μενέλεως λέγει·

Αἰγύπτῳ μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
ἔσχον, ἐπεὶ οὔ σφιν ἔρεξα τελησσας ἑκατόμβας.

(27) Ἐν τούτοισι τοῖσι ἔπεσι δηλοῖ ὅτι ἠπίστατο τὴν ἐς Αἴγυπτον Ἀλεξάνδρου πλάνην· ὁμουρέει γὰρ ἡ Συρίη Αἰγύπτῳ, οἱ δὲ Φοίνικες, τῶν ἐστι ἡ Σιδών, ἐν τῇ Συρίῃ οἰκέουσι. (28) Κατὰ ταῦτα δὲ τὰ ἔπεα καὶ τόδε τὸ χωρίον οὐκ ἥκιστα ἀλλὰ μάλιστα δηλοῖ ὅτι οὐκ Ὁμήρου τὰ Κύπρια ἔπεά ἐστι ἀλλ' ἄλλου τινός· ἐν μὲν γὰρ τοῖσι Κυπρίοισι εἴρηται ὡς τριταῖος ἐκ Σπάρτης Ἀλέξανδρος ἀπίκετο ἐς τὸ Ἴλιον ἄγων Ἑλένην, εὐαέϊ τε πνεύματι χρησάμενος καὶ θαλάσσῃ λείῃ· ἐν δὲ Ἰλιάδι λέγει ὡς ἐπλάζετο ἄγων αὐτήν. (29) Ὅμηρος μέν νυν καὶ τὰ Κύπρια ἔπεα χαιρέτω.

(30) Εἰρομένου δέ μεο τοὺς ἱρέας εἰ μάταιον λόγον λέγουσι οἱ Ἕλληνες τὰ περὶ Ἴλιον γενέσθαι ἢ οὔ, ἔφασαν πρὸς ταῦτα τάδε, ἱστορίῃσι φάμενοι εἰδέναι παρ' αὐτοῦ Μενέλεω. (31) Ἐλθεῖν μὲν γὰρ μετὰ τὴν Ἑλένης ἁρπαγὴν ἐς τὴν Τευκρίδα γῆν Ἑλλήνων στρατιὴν πολλὴν βοηθέουσαν Μενέλεῳ· ἐκβᾶσαν δὲ ἐς γῆν καὶ ἱδρυθεῖσαν τὴν στρατιὴν πέμπειν ἐς τὸ Ἴλιον ἀγγέλους, σὺν δέ σφι ἰέναι καὶ αὐτὸν Μενέλεων. (32) Τοὺς δ' ἐπείτε ἐσελθεῖν ἐς τὸ τεῖχος, ἀπαιτέειν Ἑλένην τε καὶ τὰ χρήματα τά οἱ οἴχετο κλέψας Ἀλέξανδρος, τῶν τε ἀδικημάτων δίκας αἰτέειν. (33) Τοὺς δὲ Τευκροὺς τὸν αὐτὸν λόγον λέγειν τότε καὶ μετέπειτα, καὶ ὀμνύντας καὶ ἀνωμοτί, μὴ μὲν ἔχειν Ἑλένην μηδὲ τὰ ἐπικαλεόμενα χρήματα, ἀλλ' εἶναι αὐτὰ πάντα ἐν Αἰγύπτῳ, καὶ οὐκ ἂν δικαίως αὐτοὶ δίκας ὑπέχειν τῶν Πρωτεὺς ὁ Αἰγύπτιος βασιλεὺς ἔχει. (34) Οἱ δὲ Ἕλληνες καταγελᾶσθαι δοκέοντες ὑπ' αὐτῶν οὕτω δὴ ἐπολιόρκεον, ἐς ὃ ἐξεῖλον. (35) Ἑλοῦσι δὲ τὸ τεῖχος ὡς οὐκ ἐφαίνετο ἡ

23 κατά περ-καθάπερ 2. | ἑωυτόν-ἑαυτόν 8. | ἐς-εἰς 5. | ἀπίκετο-ἀφίκετο 2. || 24 Διομήδεος-Διομήδους 14. | Ἀριστηίῃ-Ἀριστείᾳ 7./10. | ἔπεα-ἔπη 14. || 25 Ὀδυσσείῃ-Ὀδυσσείᾳ 10. | τοῖσι-τοῖς 11. || 27 τούτοισι τοῖσι-τούτοις τοῖς 11. | ἐς-εἰς 5. | ὁμουρέει-ὁμουρεῖ 26. | Συρίη-Συρία 10. | τῶν-ὧν 20. | Συρίῃ-Συρίᾳ 10. | οἰκέουσι-οἰκοῦσι 26. || 28 ἔπεα-ἔπη 14. | τοῖσι Κυπρίοισι-τοῖς Κυπρίοις 11. | ἀπίκετο-ἀφίκετο 2. | ἐς-εἰς 5. | θαλάσσῃ-θαλάττῃ 4. | λείῃ-λείᾳ 10. || 29 ἔπεα-ἔπη 14. || 30 εἰρομένου-ἐρομένου 5. | μέο-μοῦ 17. | ἱρέας i.-ἱερέας. | ἱστορίῃσι-ἱστορίαις 9. || 31 ἐς-εἰς 5. | στρατιήν-στρατιάν 10. | βοηθέουσαν-βοηθοῦσαν 26. | ἐς-εἰς 5. | στρατιήν-στρατιάν 10. | ἐς-εἰς 5. | σφί-αὐτοῖς 19. || 32 ἐπείτε i.-ἐπείδη. | ἐσελθεῖν-εἰσελθεῖν 5. | ἐς-εἰς 5. | ἀπαιτέειν-ἀπαιτεῖν 26. | τά-ἅ 20. | οἴ-αὐτῷ 18. | οἴχετο i.-ᾠχετο. | αἰτέειν-αἰτεῖν 26. || 33 ἀνωμοτί i.-ἀνωμότως. | ἐπικαλεόμενα-ἐπικαλούμενα 26. | τῶν-τούτων, ἅ/ὧν 20. || 34 δοκέοντες-δοκοῦντες 26. | ἐπολιόρκεον-ἐπολιόρκουν 26. | ἐς ὅ i.-ἕως. ||

Ἑλένη, ἀλλὰ τὸν αὐτὸν λόγον τῷ προτέρῳ ἐπυνθάνοντο, οὕτω δὴ πιστεύσαντες τῷ λόγῳ τῷ πρώτῳ οἱ Ἕλληνες αὐτὸν Μενέλεων ἀποστέλλουσι παρὰ Πρωτέα.

(36) Ἀπικόμενος δὲ ὁ Μενέλεως ἐς τὴν Αἴγυπτον καὶ ἀναπλώσας ἐς τὴν Μέμφιν, εἶπας τὴν ἀληθείην τῶν πρηγμάτων, καὶ ξεινίων ἤντησε μεγάλων καὶ Ἑλένην ἀπαθέα κακῶν ἀπέλαβε, πρὸς δὲ καὶ τὰ ἑωυτοῦ χρήματα πάντα. (37) Τυχὼν μέντοι τούτων ἐγένετο Μενέλεως ἀνὴρ ἄδικος ἐς Αἰγυπτίους. (38) Ἀποπλέειν γὰρ ὡρμημένον αὐτὸν ἴσχον ἄπλοιαι.(39) Ἐπειδὴ δὲ τοῦτο ἐπὶ πολλὸν τοιοῦτο ἦν, ἐπιτεχνᾶται πρῆγμα οὐκ ὅσιον· λαβὼν γὰρ δύο παιδία ἀνδρῶν ἐπιχωρίων ἔντομά σφεα ἐποίησε. (40) Μετὰ δέ, ὡς ἐπάϊστος ἐγένετο τοῦτο ἐργασμένος, μισηθείς τε καὶ διωκόμενος οἴχετο φεύγων τῇσι νησὶ ἐπὶ Λιβύης. (41) Τὸ ἐνθεῦτεν δὲ ὅκῃ ἔτι ἐτράπετο, οὐκ εἶχον εἰπεῖν Αἰγύπτιοι. (42) Τούτων δὲ τὰ μὲν ἱστορίῃσι ἔφασαν ἐπίστασθαι, τὰ δὲ παρ' ἑωυτοῖσι γενόμενα ἀτρεκέως ἐπιστάμενοι λέγειν.

(43) Ταῦτα μὲν Αἰγυπτίων οἱ ἱρέες ἔλεγον. (44) Ἐγὼ δὲ τῷ λόγῳ τῷ περὶ Ἑλένης λεχθέντι καὶ αὐτὸς προστίθεμαι, τάδε ἐπιλεγόμενος· εἰ ἦν Ἑλένη ἐν Ἰλίῳ, ἀποδοθῆναι ἂν αὐτὴν τοῖσι Ἕλλησι ἤτοι ἑκόντος γε ἢ ἀέκοντος Ἀλεξάνδρου. (45) Οὐ γὰρ δὴ οὕτω γε φρενοβλαβὴς ἦν ὁ Πρίαμος οὐδὲ οἱ ἄλλοι προσήκοντες αὐτῷ, ὥστε τοῖσι σφετέροισι σώμασι καὶ τοῖσι τέκνοισι καὶ τῇ πόλι κινδυνεύειν ἐβούλοντο, ὅκως Ἀλέξανδρος Ἑλένῃ συνοικέῃ. (46) Εἰ δέ τοι καὶ ἐν τοῖσι πρώτοισι χρόνοισι ταῦτα ἐγίνωσκον, ἐπεὶ πολλοὶ μὲν τῶν ἄλλων Τρώων, ὁκότε συμμίσγοιεν τοῖσι Ἕλλησι, ἀπώλλυντο, αὐτοῦ δὲ Πριάμου οὐκ ἔστι ὅτε οὐ δύο ἢ τρεῖς ἢ καὶ ἔτι πλέους τῶν παίδων μάχης γινομένης ἀπέθνῃσκον (εἰ χρή τι τοῖσι ἐποποιοῖσι χρεώμενον λέγειν), τούτων δὲ τοιούτων συμβαινόντων ἐγὼ μὲν ἔλπομαι, εἰ καὶ αὐτὸς Πρίαμος συνοίκεε Ἑλένῃ, ἀποδοῦναι ἂν αὐτὴν τοῖσι Ἀχαιοῖσι, μέλλοντά γε δὴ τῶν παρεόντων κακῶν ἀπαλλαγήσεσθαι. (47) Οὐ μὲν οὐδὲ ἡ βασιληίη ἐς Ἀλέξανδρον περιῄϊε, ὥστε γέροντος Πριάμου ἐόντος ἐπ' ἐκείνῳ τὰ πρήγματα εἶναι, ἀλλὰ Ἕκτωρ καὶ πρεσβύτερος καὶ ἀνὴρ ἐκείνου μᾶλλον ἐὼν ἔμελλε αὐτὴν Πριάμου ἀποθανόντος παραλάμψεσθαι, τὸν οὐ προσῆκε ἀδικέοντι τῷ ἀδελφεῷ ἐπιτρέπειν, καὶ ταῦτα μεγάλων κακῶν δι' αὐτὸν συμβαινόντων ἰδίῃ τε αὐτῷ καὶ τοῖσι ἄλλοισι πᾶσι Τρωσί. (48) Ἀλλ' οὐ γὰρ εἶχον Ἑλένην ἀποδοῦναι οὐδὲ λέγουσι αὐτοῖσι τὴν ἀληθείην ἐπίστευον οἱ Ἕλληνες, ὡς μὲν

36 ἀπικόμενος-ἀφικόμενος 2. | ἐς-εἰς 5. | ἀναπλώσας i.-ἀναπλεύσας. | ἀληθείην-ἀλήθειαν 10. | πρηγμάτων-πραγμάτων 10. | ξεινίων-ξενίων 5. | ἀπαθέα-ἀπαθῆ 14. | ἑωυτοῦ-ἑαυτοῦ 8. || 37 ἐς-εἰς 5. || 38 ἀποπλέειν-ἀποπλεῖν 26. || 39 πολλόν i.-πολύ. | πρῆγμα-πρᾶγμα 10. | σφέα-αὐτά 19. || 40 ἐπάϊστος i.-ἔκπυστος. | ἐργασμένος-εἰργασμένος 22. | τῇσι-ταῖς 9. | νησί-ναυσί 13. || 41 ἐνθεῦτεν-ἐντεῦθεν 1. | ὅκῃ-ὅπῃ 3. || 42 ἱστορίῃσι-ἱστορίαις 9. | ἑωυτοῖσι-ἑαυτοῖς 8./11. | ἀτρεκέως-ἀτρεκῶς 14. || 43 ἱρέες i.-ἱερεῖς 13. || 44 τοῖσι-τοῖς 11. | ἀέκοντος i.-ἄκοντος. || 45 τοῖσι σφετέροισι-τοῖς σφετέροις 11. | τοῖσι τέκνοισι-τοῖς τέκνοις 11. | πόλι-πόλει 13. | ὅκως-ὅπως 3. | συνοικέῃ-συνοικῇ 26. || 46 τοῖσι πρώτοισι χρόνοισι-τοῖς πρώτοις χρόνοις 11. | ἐγίνωσκον i.-ἐγίγνωσκον. | ὁκότε-ὁπότε 3. | συμμίσγοιεν i.-συμμειγνύοιεν. | τοῖσι-τοῖς 11. | πλέους i.-πλείους. | γινομένης i.-γιγνομένης. | τοῖσι ἐποποιοῖσι-τοῖς ἐποποιοῖς 11. | χρεώμενον-χρώμενον 26. | συνοίκεε-συνοίκει 26. | τοῖσι Ἀχαιοῖσι-τοῖς Ἀχαιοῖς 11. | παρεόντων-παρόντων 26. || 47 βασιληίη-βασιλεία 8. | ἐς-εἰς 5. | περιῄϊε i.-περιῆε. | ἐόντος-ὄντος 26. | πρήγματα-πράγματα 10. | ἐὼν-ὢν 26. | παραλάμψεσθαι i.-παραλήψεσθαι. | τόν-αὐτόν 21. | ἀδικέοντι-ἀδικοῦντι 26. | ἀδελφεῷ i.-ἀδελφῷ. | ἰδίῃ-ἰδίᾳ 10. | τοῖσι ἄλλοισι-τοῖς ἄλλοις 11. ||

ἐγὼ γνώμην ἀποφαίνομαι, τοῦ δαιμονίου παρασκευάζοντος ὅκως πανωλεθρίῃ ἀπολόμενοι καταφανὲς τοῦτο τοῖσι ἀνθρώποισι ποιήσωσι, ὡς τῶν μεγάλων ἀδικημάτων μεγάλαι εἰσὶ καὶ αἱ τιμωρίαι παρὰ τῶν θεῶν. Καὶ ταῦτα μὲν τῇ ἐμοὶ δοκέει εἴρηται.

III. Szkíta szokások

(1) Τὰ δ' ἐς πόλεμον ἔχοντα ὧδέ σφι διάκειται. (2) Ἐπεὰν τὸν πρῶτον ἄνδρα καταβάλῃ ἀνὴρ Σκύθης, τοῦ αἵματος ἐμπίνει. (3) Ὅσους δ' ἂν φονεύσῃ ἐν τῇ μάχῃ, τούτων τὰς κεφαλὰς ἀποφέρει τῷ βασιλέϊ· ἀπενείκας μὲν γὰρ κεφαλὴν τῆς ληίης μεταλαμβάνει τὴν ἂν λάβωσι, μὴ ἐνείκας δὲ οὔ. (4) Ἀποδείρει δὲ αὐτὴν τρόπῳ τοιῷδε· περιταμὼν κύκλῳ περὶ τὰ ὦτα καὶ λαβόμενος τῆς κεφαλῆς ἐκσείει, μετὰ δὲ σαρκίσας βοὸς πλευρῇ δέψει τῇσι χερσί, ὀργάσας δὲ αὐτὸ ἅτε χειρώμακτρον ἔκτηται, ἐκ δὲ τῶν χαλινῶν τοῦ ἵππου τὸν αὐτὸς ἐλαύνει, ἐκ τούτου ἐξάπτει καὶ ἀγάλλεται. (5) Ὃς γὰρ ἂν πλεῖστα δέρματα χειρώμακτρα ἔχῃ, ἀνὴρ ἄριστος οὗτος κέκριται. (6) Πολλοὶ δὲ αὐτῶν ἐκ τῶν ἀποδερμάτων καὶ χλαίνας ἐπείνυσθαι ποιεῦσι, συρράπτοντες κατά περ βαίτας· πολλοὶ δὲ ἀνδρῶν ἐχθρῶν τὰς δεξιὰς χεῖρας νεκρῶν ἐόντων ἀποδείραντες αὐτοῖσι ὄνυξι καλύπτρας τῶν φαρετρέων ποιεῦνται· δέρμα δὲ ἀνθρώπου καὶ παχὺ καὶ λαμπρὸν ἦν ἄρα, σχεδὸν δερμάτων πάντων λαμπρότατον λευκότητι. (7) Πολλοὶ δὲ καὶ ὅλους ἄνδρας ἐκδείραντες καὶ διατείναντες ἐπὶ ξύλων ἐπ' ἵππων περιφέρουσι.

(8) Ταῦτα μὲν δὴ οὕτω σφι νενόμισται. (9) Αὐτὰς δὲ τὰς κεφαλάς, οὔτι πάντων ἀλλὰ τῶν ἐχθίστων, ποιεῦσι τάδε. (10) Ἀποπρίσας ἕκαστος πᾶν τὸ ἔνερθε τῶν ὀφρύων ἐκκαθαίρει· καὶ ἢν μὲν ᾖ πένης, ὁ δὲ ἔξωθεν ὠμοβοέην μούνην περιτείνας οὕτω χρᾶται, ἢν δὲ ᾖ πλούσιος, τὴν μὲν ὠμοβοέην περιτείνει, ἔσωθεν δὲ καταχρυσώσας οὕτω χρᾶται ἅτε ποτηρίῳ. (11) Ποιεῦσι δὲ τοῦτο καὶ ἐκ τῶν οἰκηίων, ἤν σφι διάφοροι γένωνται καὶ ἢν ἐπικρατήσῃ αὐτοῦ παρὰ τῷ βασιλέϊ· ξείνων δέ οἱ ἐλθόντων τῶν ἂν λόγον ποιῆται, τὰς κεφαλὰς ταύτας παραφέρει καὶ ἐπιλέγει ὡς οἱ ἐόντες οἰκήιοι πόλεμον προσεθήκαντο καί σφεων αὐτὸς ἐπεκράτησε, ταύτην ἀνδραγαθίην λέγοντες.

(12) Ἅπαξ δὲ τοῦ ἐνιαυτοῦ ἑκάστου ὁ νομάρχης ἕκαστος ἐν τῷ ἑωυτοῦ νομῷ κιρνᾷ κρητῆρα οἴνου, ἀπ' οὗ πίνουσι τῶν Σκυθέων τοῖσι ἂν ἄνδρες πολέμιοι ἀραιρημένοι ἔωσι· τοῖσι δ' ἂν μὴ κατεργασμένον ᾖ τοῦτο, οὐ γεύονται τοῦ οἴνου τούτου, ἀλλ' ἠτιμωμένοι ἀποκατέαται· ὄνειδος δέ σφί ἐστι μέγιστον τοῦτο· ὅσοι δὲ ἂν αὐτῶν καὶ κάρτα πολλοὺς ἄνδρας

48 αὐτοῖσι-αὐτοῖς 11. | ἀληθείην-ἀλήθειαν 10. | ὅκως-ὅπως 3. | πανωλεθρίῃ-πανωλεθρίᾳ 10. | τοῖσι ἀνθρώποισι-τοῖς ἀνθρώποις 11. | δοκέει-δοκεῖ 26. ||| III. 1 ἐς-εἰς 5. | σφί-αὐτοῖς 19. || 3 βασιλέϊ-βασιλεῖ 13. | ἀπενείκας i.-ἀπενέγκας. | ληίης-λείας 7./10. | τήν-ἥν 20. | ἐνείκας i.-ἐνέγκας. || 4 περιταμών i.-περιτεμών. | πλευρῇ-πλευρᾷ 10. | τῇσι-ταῖς 9. | τόν-ὅν 20. || 6 ποιεῦσι-ποιοῦσι 26. | κατά περ-καθάπερ 2. | ἐόντων-ὄντων 26. | αὐτοῖσι-αὐτοῖς 11. | φαρετρέων-φαρετρῶν 9. | ποιεῦνται-ποιοῦνται 26. || 7 ἐπ' ἵππων-ἐφ' ἵππων 2. || 8 σφί-αὐτοῖς 19. || 9 ποιεῦσι-ποιοῦσι 26. || 10 ὠμοβοέην i.-ὠμοβόειαν δοράν. | μούνην-μόνην 5. | ὠμοβοέην i.-ὠμοβόειαν δοράν. || 11 ποιεῦσι-ποιοῦσι 26. | οἰκηίων-οἰκείων 7. | σφί-αὐτοῖς 19. | βασιλέϊ-βασιλεῖ 13. | ξείνων-ξένων 5. | οἱ-αὐτῷ 18. | τῶν-ὧν 20. | ἐόντες-ὄντες 26. | οἰκήιοι-οἰκεῖοι 7. | προσεθήκαντο i.-προσέθεντο. | σφεων-σφῶν/αὐτῶν 19. | ἀνδραγαθίην-ἀνδραγαθίαν 10. ||

ἀραιρηκότες ἔωσι, οὗτοι δὲ σύνδυο κύλικας ἔχοντες πίνουσι ὁμοῦ. (13) Μάντιες δὲ Σκυθέων εἰσὶ πολλοί, οἳ μαντεύονται ῥάβδοισι ἰτεΐνῃσι πολλῇσι ὧδε. (14) Ἐπεὰν φακέλους ῥάβδων μεγάλους ἐνείκωνται, θέντες χαμαὶ διεξειλίσσουσι αὐτούς, καὶ ἐπὶ μίαν ἑκάστην ῥάβδον τιθέντες θεσπίζουσι, ἅμα τε λέγοντες ταῦτα συνειλέουσι τὰς ῥάβδους ὀπίσω καὶ αὖτις κατὰ μίαν τιθεῖσι. (15) Αὕτη μέν σφι ἡ μαντικὴ πατρωίη ἐστί. (16) Οἱ δὲ Ἐνάρεες οἱ ἀνδρόγυνοι τὴν Ἀφροδίτην σφίσι λέγουσι μαντικὴν δοῦναι· φιλύρης ὦν φλοιῷ μαντεύονται· ἐπεὰν τὴν φιλύρην τρίχα σχίσῃ, διαπλέκων ἐν τοῖσι δακτύλοισι τοῖσι ἑωυτοῦ καὶ διαλύων χρᾷ.

(17) Ἐπεὰν δὲ βασιλεὺς ὁ Σκυθέων κάμῃ, μεταπέμπεται τῶν μαντίων ἄνδρας τρεῖς τοὺς εὐδοκιμέοντας μάλιστα, οἳ τρόπῳ τῷ εἰρημένῳ μαντεύονται· καὶ λέγουσι οὗτοι ὡς τὸ ἐπίπαν μάλιστα τάδε, ὡς τὰς βασιληίας ἱστίας ἐπιώρκηκε ὃς καὶ ὅς, λέγοντες τῶν ἀστῶν τὸν ἂν δὴ λέγωσι· τὰς δὲ βασιληίας ἱστίας νόμος Σκύθῃσι τὰ μάλιστά ἐστι ὀμνύναι τότε ἐπεὰν τὸν μέγιστον ὅρκον ἐθέλωσι ὀμνύναι. (18) Αὐτίκα δὲ διαλελαμμένος ἄγεται οὗτος τὸν ἂν δὴ φῶσι ἐπιορκῆσαι, ἀπιγμένον δὲ ἐλέγχουσι οἱ μάντιες ὡς ἐπιορκήσας φαίνεται ἐν τῇ μαντικῇ τὰς βασιληίας ἱστίας καὶ διὰ ταῦτα ἀλγέει ὁ βασιλεύς. (19) Ὁ δὲ ἀρνέεται, οὐ φάμενος ἐπιορκῆσαι, καὶ δεινολογέεται. (20) Ἀρνεομένου δὲ τούτου ὁ βασιλεὺς μεταπέμπεται ἄλλους διπλησίους μάντις· καὶ ἢν μέν μιν καὶ οὗτοι ἐσορῶντες ἐς τὴν μαντικὴν καταδήσωσι ἐπιορκῆσαι, τοῦ δὲ ἰθέως τὴν κεφαλὴν ἀποτάμνουσι καὶ τὰ χρήματα αὐτοῦ διαλαγχάνουσι οἱ πρῶτοι τῶν μαντίων· ἢν δὲ οἱ ἐπελθόντες μάντιες ἀπολύσωσι, ἄλλοι πάρεισι μάντιες καὶ μάλα ἄλλοι· ἢν ὦν οἱ πλέονες τὸν ἄνθρωπον ἀπολύσωσι, δέδοκται τοῖσι πρώτοισι τῶν μαντίων αὐτοῖσι ἀπόλλυσθαι.

(21) Ἀπολλύουσι δῆτα αὐτοὺς τρόπῳ τοιῷδε. (22) Ἐπεὰν ἅμαξαν καμάρης φρυγάνων πλήσωσι καὶ ὑποζεύξωσι βοῦς, ἐμποδίσαντες τοὺς μάντις καὶ χεῖρας ὀπίσω δήσαντες καὶ στομώσαντες κατεργνύουσι ἐς μέσα τὰ φρύγανα, ὑποπρήσαντες δὲ αὐτὰ ἀπιεῖσι φοβήσαντες τοὺς βοῦς. (23) Πολλοὶ μὲν δὴ συγκατακαίονται τοῖσι μάντισι βόες, πολλοὶ δὲ περικεκαυμένοι ἀποφεύγουσι, ἐπεὰν αὐτῶν ὁ ῥυμὸς κατακαυθῇ. (24) Κατακαίουσι δὲ

12 ἑωυτοῦ-ἑαυτοῦ 8. | κρητῆρα-κρατῆρα 10. | ἀπ' οὗ-ἀφ' οὗ 2. | Σκυθέων-Σκυθῶν 9. | τοῖσι-οἷς 20./11. | ἀραιρημένοι i.-ᾑρημένοι. | ἔωσι-ὦσι 26. | τοῖσι-οἷς 20./11. | κατεργασμένον-κατειργασμένον 22. | ἀποκατέαται-ἀποκαθημένοι εἰσί 2./23. | σφί-αὐτοῖς 19. | κάρτα i.-μάλα | ἀραιρηκότες i.-ᾑρηκότες | ἔωσι-ὦσι 26. || 13 μάντιες-μάντεις 13. | Σκυθέων-Σκυθῶν 9. | ῥάβδοισι-ῥάβδοις 11. | ἰτεΐνῃσι πολλῇσι-ἰτείναις πολλαῖς 9. || 14 ἐνείκωνται i.-ἐνέγκωνται. | διεξειλίσσουσι i.-διεξελίσσουσι 5. | συνειλέουσι i.-συνειλοῦσι 26. | αὖτις i.-αὖθις. | τιθεῖσι-τιθέασι 27. || 15 σφί-αὐτοῖς 19. | πατρωίη i.-πατρῴα. || 16 Ἐνάρεες-Ἐνάρεις 14. | σφίσι-ἑαυτοῖς 19. | φιλύρης-φιλύρας 10. | ὦν-οὖν 5. | φιλύρην-φιλύραν 10. | τοῖσι δακτύλοισι τοῖσι-τοῖς δακτύλοις τοῖς 11. | ἑωυτοῦ-ἑαυτοῦ 8. || 17 Σκυθέων-Σκυθῶν 9. | μαντίων i.-μάντεων 13. | εὐδοκιμέοντας-εὐδοκιμοῦντας 26. | βασιληίας-βασίλειας 7. | ὃς καὶ ὅς i.-οὗτος καὶ ἐκεῖνος. | τόν-ὅν 20. | βασιληίας-βασίλειας 7. | Σκύθῃσι-Σκύθαις 9. || 18 διαλελαμμένος i.-διειλημμένος. | τόν-ὅν 20. | ἀπιγμένον-ἀφιγμένον 2. | μάντιες-μάντεις 13. | βασιληίας-βασίλειας 7. | ἀλγέει-ἀλγεῖ 26. || 19 ἀρνέεται-ἀρνεῖται 26. | δεινολογέεται-δεινολογεῖται 26. || 20 ἀρνεομένου-ἀρνουμένου 26. | μάντις-μάντεις 13. | μίν-αὐτόν 18. | ἐσορῶντες ἐς-εἰσορῶντες εἰς 5. | τοῦ-τούτου 21. | ἰθέως i.-εὐθύς. | ἀποτάμνουσι i.-ἀποτέμνουσι. | μαντίων i.-μάντεων 13. | μάντιες-μάντεις 13. | ὦν-οὖν 5. | πλέονες i.-πλείονες. | τοῖσι πρώτοισι-τοῖς πρώτοις 11. | μαντίων i.-μάντεων 13. | αὐτοῖσι-αὐτοῖς 11. || 21 ἀπολλύουσι-ἀπολλύασι 28. || 22 καμάρης-καμάρας 10. | μάντις-μάντεις 13. | κατεργνύουσι i.-κατείργουσι. | ἐς-εἰς 5. | ἀπιεῖσι-ἀφίασι 2./27. || 23 τοῖσι-τοῖς 11. | μάντισι i.-μάντεσι 13. ||

τρόπῳ τῷ εἰρημένῳ καὶ δι' ἄλλας αἰτίας τοὺς μάντις, ψευδομάντις καλέοντες. (25) Τοὺς δ' ἂν ἀποκτείνῃ βασιλεύς, τούτων οὐδὲ τοὺς παῖδας λείπει, ἀλλὰ πάντα τὰ ἔρσενα κτείνει, τὰ δὲ θήλεα οὐκ ἀδικέει.
(26) Ὅρκια δὲ ποιεῦνται Σκύθαι ὧδε πρὸς τοὺς ἂν ποιέωνται. (27) Ἐς κύλικα μεγάλην κεραμίνην οἶνον ἐγχέαντες αἷμα συμμίσγουσι τῶν τὸ ὅρκιον ταμνομένων, τύψαντες ὑπέατι ἢ ἐπιταμόντες μαχαίρῃ σμικρὸν τοῦ σώματος καὶ ἔπειτα ἀποβάψαντες ἐς τὴν κύλικα ἀκινάκην καὶ ὀϊστοὺς καὶ σάγαριν καὶ ἀκόντιον· ἐπεὰν δὲ ταῦτα ποιήσωσι, κατεύχονται πολλὰ καὶ ἔπειτα ἀποπίνουσι αὐτοί τε οἱ τὸ ὅρκιον ποιεύμενοι καὶ τῶν ἑπομένων οἱ πλείστου ἄξιοι.
(28) Ταφαὶ δὲ τῶν βασιλέων ἐν Γέρροισί εἰσι, ἐς ὃ ὁ Βορυσθένης ἐστὶ προσπλωτός. (29) Ἐνθαῦτα, ἐπεάν σφι ἀποθάνῃ ὁ βασιλεύς, ὄρυγμα γῆς μέγα ὀρύσσουσι τετράγωνον, ἕτοιμον δὲ τοῦτο ποιήσαντες ἀναλαμβάνουσι τὸν νεκρόν, κατακεκηρωμένον μὲν τὸ σῶμα, τὴν δὲ νηδὺν ἀνασχισθεῖσαν καὶ καθαρθεῖσαν, πλέην κυπέρου κεκομμένου καὶ θυμιήματος καὶ σελίνου σπέρματος καὶ ἀννήσου, συνερραμμένην ὀπίσω, καὶ κομίζουσι ἐν ἁμάξῃ ἐς ἄλλο ἔθνος. (30) Οἳ δὲ ἂν παραδέξωνται κομισθέντα τὸν νεκρόν, ποιεῦσι τά περ οἱ βασιλήιοι Σκύθαι· τοῦ ὠτὸς ἀποτάμνονται, τρίχας περικείρονται, βραχίονας περιτάμνονται, μέτωπον καὶ ῥῖνα καταμύσσονται, διὰ τῆς ἀριστερῆς χειρὸς ὀϊστοὺς διαβυνέονται. (31) Ἐνθεῦτεν δὲ κομίζουσι ἐν τῇ ἁμάξῃ τοῦ βασιλέος τὸν νέκυν ἐς ἄλλο ἔθνος τῶν ἄρχουσι· οἱ δέ σφι ἕπονται ἐς τοὺς πρότερον ἦλθον. (32) Ἐπεὰν δὲ πάντας περιέλθωσι τὸν νέκυν κομίζοντες, ἐν Γέρροισι ἔσχατα κατοικημένοισί εἰσι τῶν ἐθνέων τῶν ἄρχουσι καὶ ἐν τῇσι ταφῇσι. (33) Καὶ ἔπειτα, ἐπεὰν θέωσι τὸν νέκυν ἐν τῇσι θήκῃσι ἐπὶ στιβάδος, παραπήξαντες αἰχμὰς ἔνθεν καὶ ἔνθεν τοῦ νεκροῦ ξύλα ὑπερτείνουσι καὶ ἔπειτα ῥιφὶ καταστεγάζουσι, ἐν δὲ τῇ λοιπῇ εὐρυχωρίῃ τῆς θήκης τῶν παλλακέων τε μίαν ἀποπνίξαντες θάπτουσι καὶ τὸν οἰνοχόον καὶ μάγειρον καὶ ἱπποκόμον καὶ διήκονον καὶ ἀγγελιηφόρον καὶ ἵππους καὶ τῶν ἄλλων ἁπάντων ἀπαρχὰς καὶ φιάλας χρυσέας· ἀργύρῳ δὲ οὐδὲν οὐδὲ χαλκῷ χρέωνται· ταῦτα δὲ ποιήσαντες χοῦσι πάντες χῶμα μέγα, ἁμιλλώμενοι καὶ προθυμεόμενοι ὡς μέγιστον ποιῆσαι.

24 μάντις, ψευδομάντις-μάντεις, ψευδομάντεις 13. | καλέοντες-καλοῦντες 26. || 25 τοὺς-οὕς 20. | ἔρσενα i.-ἄρρενα. | ἀδικέει-ἀδικεῖ 26. || 26 ποιεῦνται-ποιοῦνται 26. | ποιέωνται-ποιῶνται 26. || 27 ἐς-εἰς 5. | συμμίσγουσι i.-συμμειγνύασι. | ταμνομένων i.-τεμνομένων. | ἐπιταμόντες i.-ἐπιτεμόντες. | μαχαίρῃ-μαχαίρᾳ 10. | ἐς-εἰς 5. | ποιεύμενοι-ποιούμενοι 26. || 28 Γέρροισι-Γέρροις 11. | ἐς-εἰς 5. || 29 ἐνθαῦτα-ἐνταῦθα 1. | σφί-αὐτοῖς 19. | ὀρύσσουσι-ὀρύττουσι 4. | πλέην-πλέαν 10. | θυμιήματος-θυμιάματος 10. | ἐς-εἰς 5. || 30 ποιεῦσι-ποιοῦσι 26. | τά περ-ἅπερ 20. | βασιλήιοι-βασίλειοι 7. | ἀποτάμνονται i.-ἀποτέμνονται. | περιτάμνονται i.-περιτέμνονται. | καταμύσσονται-καταμύττονται 4. | ἀριστερῆς-ἀριστερᾶς 10. | διαβυνέονται-διαβυνοῦνται 26. || 31 ἐνθεῦτεν-ἐντεῦθεν 1. | βασιλέος-βασιλέως 13. | ἐς-εἰς 5. | τῶν-ὧν 20. | σφί-αὐτοῖς 19. | ἐς-εἰς 5. | τούς-οὕς 20. || 32 Γέρροισι-Γέρροις 11. | κατοικημένοισι-κατοικημένοις 11. | ἐθνέων-ἐθνῶν 14. | τῶν-ὧν 20. | τῇσι ταφῇσι-ταῖς ταφαῖς 9. || 33 θέωσι-θῶσι 26. | τῇσι θήκῃσι-ταῖς θήκαις 9. | εὐρυχωρίῃ-εὐρυχωρίᾳ 10. | παλλακέων-παλλακῶν 9. | διήκονον-διάκονον 10. | ἀγγειλιηφόρον-ἀγγειλιαφόρον 10. | χρυσέας-χρυσᾶς 12. | χρέωνται-χρῶνται 26. | προθυμεόμενοι-προθυμούμενοι 26.

IV. Thermopylai

Βασιλεὺς μὲν δὴ Ξέρξης ἐστρατοπεδεύετο τῆς Μηλίδος ἐν τῇ Τρηχινίῃ, οἱ δὲ δὴ Ἕλληνες ἐν τῇ διόδῳ· καλέεται δὲ ὁ χῶρος οὗτος ὑπὸ μὲν τῶν πλεόνων Ἑλλήνων Θερμοπύλαι, ὑπὸ δὲ τῶν ἐπιχωρίων καὶ περιοίκων Πύλαι. Ἐστρατοπεδεύοντο μέν νυν ἑκάτεροι ἐν τούτοισι τοῖσι χωρίοισι, ἐπεκράτεε δὲ ὁ μὲν τῶν πρὸς βορέην ἄνεμον ἐχόντων πάντων μέχρι Τρηχῖνος, οἱ δὲ τῶν πρὸς νότον τε καὶ μεσαμβρίην φερόντων τὸ ἐπὶ ταύτης τῆς ἠπείρου.

Ἦσαν δὲ οἵδε Ἑλλήνων οἱ ὑπομένοντες τὸν Πέρσην ἐν τούτῳ τῷ χώρῳ· Σπαρτιητέων τε τριηκόσιοι ὁπλῖται καὶ Τεγεητέων καὶ Μαντινέων χίλιοι, ἡμίσεες ἑκατέρων, ἐξ Ὀρχομενοῦ τε τῆς Ἀρκαδίης εἴκοσι καὶ ἑκατὸν καὶ ἐκ τῆς λοιπῆς Ἀρκαδίης χίλιοι· τοσοῦτοι μὲν Ἀρκάδων· ἀπὸ δὲ Κορίνθου τετρακόσιοι καὶ ἀπὸ Φλειοῦντος διηκόσιοι καὶ Μυκηναίων ὀγδώκοντα· οὗτοι μὲν ἀπὸ Πελοποννήσου παρῆσαν. Ἀπὸ δὲ Βοιωτῶν Θεσπιέων τε ἑπτακόσιοι καὶ Θηβαίων τετρακόσιοι.

Πρὸς τούτοισι ἐπίκλητοι ἐγένοντο Λοκροί τε οἱ Ὀπούντιοι πανστρατιῇ καὶ Φωκέων χίλιοι. Αὐτοὶ γάρ σφεας οἱ Ἕλληνες ἐπεκαλέσαντο, λέγοντες δι' ἀγγέλων ὡς αὐτοὶ μὲν ἥκοιεν πρόδρομοι τῶν ἄλλων, οἱ δὲ λοιποὶ τῶν συμμάχων προσδόκιμοι πᾶσαν εἶεν ἡμέρην, ἡ θάλασσά τέ σφι εἴη ἐν φυλακῇ ὑπ' Ἀθηναίων τε φρουρεομένη καὶ Αἰγινητέων καὶ τῶν ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντων, καί σφι εἴη δεινὸν οὐδέν· οὐ γὰρ θεὸν εἶναι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα ἀλλ' ἄνθρωπον, εἶναι δὲ θνητὸν οὐδένα οὐδὲ ἔσεσθαι τῷ κακὸν ἐξ ἀρχῆς γινομένῳ οὐ συνεμίχθη, τοῖσι δὲ μεγίστοισι αὐτῶν μέγιστα· ὀφείλειν ὦν καὶ τὸν ἐπελαύνοντα, ὡς ἐόντα θνητόν, ἀπὸ τῆς δόξης πεσεῖν ἄν. Οἱ δὲ ταῦτα πυνθανόμενοι ἐβοήθεον ἐς τὴν Τρηχῖνα.

Τούτοισι ἦσαν μέν νυν καὶ ἄλλοι στρατηγοὶ κατὰ πόλις ἑκάστων, ὁ δὲ θωμαζόμενος μάλιστα καὶ παντὸς τοῦ στρατεύματος ἡγεόμενος Λακεδαιμόνιος ἦν Λεωνίδης ὁ Ἀναξανδρίδεω τοῦ Λέοντος τοῦ Εὐρυκρατίδεω τοῦ Ἀναξάνδρου τοῦ Εὐρυκράτεος τοῦ Πολυδώρου τοῦ Ἀλκαμένεος τοῦ Τηλέκλου τοῦ Ἀρχέλεω τοῦ Ἡγησίλεω τοῦ Δορύσσου τοῦ Λεωβώτεω τοῦ Ἐχεστράτου τοῦ Ἥγιος τοῦ Εὐρυσθένεος τοῦ Ἀριστοδήμου τοῦ Ἀριστομάχου τοῦ Κλεοδαίου τοῦ Ὕλλου τοῦ Ἡρακλέος, κτησάμενος τὴν βασιληίην ἐν Σπάρτῃ ἐξ ἀπροσδοκήτου. Διξῶν γάρ οἱ ἐόντων πρεσβυτέρων ἀδελφεῶν, Κλεομένεός τε καὶ Δωριέος, ἀπελήλατο τῆς φροντίδος περὶ τῆς βασιληίης. Ἀποθανόντος δὲ Κλεομένεος ἄπαιδος ἔρσενος γόνου, Δωριέος τε οὐκέτι ἐόντος ἀλλὰ τελευτήσαντος καὶ τούτου ἐν Σικελίῃ, οὕτω δὴ ἐς Λεωνίδην ἀνέβαινε ἡ βασιληίη, καὶ διότι πρότερος ἐγεγόνεε Κλεομβρότου (οὗτος γὰρ ἦν νεώτατος Ἀναξανδρίδεω παῖς) καὶ δὴ καὶ εἶχε Κλεομένεος θυγατέρα. Ὃς τότε ἧιε ἐς Θερμοπύλας ἐπιλεξάμενος ἄνδρας τε τῶν κατεστεώτων Τριηκοσίων καὶ τοῖσι ἐτύγχανον παῖδες ἐόντες. Παραλαβὼν δὲ ἀπίκετο καὶ Θηβαίων τοὺς ἐς τὸν ἀριθμὸν λογισάμενος εἶπον, τῶν ἐστρατήγεε Λεοντιάδης ὁ Εὐρυμάχου. Τοῦδε δὲ εἵνεκα τούτους σπουδὴν ἐποιήσατο Λεωνίδης μούνους Ἑλλήνων παραλαβεῖν, ὅτι σφέων μεγάλως κατηγόρητο μηδίζειν· παρεκάλεε ὦν ἐς τὸν πόλεμον θέλων εἰδέναι εἴτε συμπέμψουσι εἴτε καὶ ἀπερέουσι ἐκ τοῦ ἐμφανέος τὴν Ἑλλήνων συμμαχίην. Οἱ δὲ ἄλλα φρονέοντες ἔπεμπον.

Τούτους μὲν τοὺς ἀμφὶ Λεωνίδην πρώτους ἀπέπεμψαν Σπαρτιῆται, ἵνα τούτους ὁρῶντες οἱ ἄλλοι σύμμαχοι στρατεύωνται μηδὲ καὶ οὗτοι μηδίσωσι, ἢν αὐτοὺς πυνθάνωνται ὑπερβαλλομένους· μετὰ δέ, Κάρνεια γάρ σφι ἦν ἐμποδών, ἔμελλον ὀρτάσαντες καὶ φύλακας λιπόντες ἐν τῇ Σπάρτῃ κατὰ τάχος βοηθέειν πανδημεί. Ὡς δὲ καὶ οἱ λοιποὶ τῶν συμμάχων ἐνένωντο καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιήσειν· ἦν γὰρ κατὰ τὠυτὸ Ὀλυμπιὰς τούτοισι τοῖσι πρήγμασι συμπεσοῦσα· οὐκ ὦν δοκέοντες κατὰ τάχος οὕτω διακριθήσεσθαι τὸν ἐν Θερμοπύλῃσι πόλεμον ἔπεμπον τοὺς προδρόμους. Οὗτοι μὲν δὴ οὕτω διενένωντο ποιήσειν.

Οἱ δὲ ἐν Θερμοπύλῃσι Ἕλληνες, ἐπειδὴ πέλας ἐγένετο τῆς ἐσβολῆς ὁ Πέρσης, καταρρωδέοντες ἐβουλεύοντο περὶ ἀπαλλαγῆς. Τοῖσι μέν νυν ἄλλοισι Πελοποννησίοισι ἐδόκεε ἐλθοῦσι ἐς Πελοπόννησον τὸν Ἰσθμὸν ἔχειν ἐν φυλακῇ· Λεωνίδης δέ, Φωκέων καὶ Λοκρῶν περισπερχθέντων τῇ γνώμῃ ταύτῃ, αὐτοῦ τε μένειν ἐψηφίζετο πέμπειν τε ἀγγέλους ἐς τὰς πόλις κελεύοντάς σφι ἐπιβοηθέειν, ὡς ἐόντων αὐτῶν ὀλίγων στρατὸν τὸν Μήδων ἀλέξασθαι.

Ταῦτα βουλευομένων σφέων ἔπεμπε Ξέρξης κατάσκοπον ἱππέα ἰδέσθαι ὁκόσοι εἰσὶ καὶ ὅ τι ποιοῖεν· ἀκηκόεε δὲ ἔτι ἐὼν ἐν Θεσσαλίῃ ὡς ἀλισμένη εἴη ταύτῃ στρατιὴ ὀλίγη, καὶ τοὺς ἡγεμόνας ὡς εἴησαν Λακεδαιμόνιοί τε καὶ Λεωνίδης, ἐὼν γένος Ἡρακλείδης. Ὡς δὲ προσήλασε ὁ ἱππεὺς πρὸς τὸ στρατόπεδον, ἐθηεῖτό τε καὶ κατώρα πᾶν μὲν οὐ τὸ στρατόπεδον· τοὺς γὰρ ἔσω τεταγμένους τοῦ τείχεος, τὸ ἀνορθώσαντες εἶχον ἐν φυλακῇ, οὐκ οἷά τε ἦν κατιδέσθαι· ὁ δὲ τοὺς ἔξω ἐμάνθανε, τοῖσι πρὸ τοῦ τείχεος τὰ ὅπλα ἔκειτο. Ἔτυχον δὲ τοῦτον τὸν χρόνον Λακεδαιμόνιοι ἔξω τεταγμένοι. Τοὺς μὲν δὴ ὥρα γυμναζομένους τῶν ἀνδρῶν, τοὺς δὲ τὰς κόμας κτενιζομένους· ταῦτα δὴ θεώμενος ἐθώμαζε καὶ τὸ πλῆθος ἐμάνθανε· μαθὼν δὲ πάντα ἀτρεκέως ἀπήλαυνε ὀπίσω κατ' ἡσυχίην· οὔτε γάρ τις ἐδίωκε ἀλογίης τε ἐκύρησε πολλῆς· ἀπελθών τε ἔλεγε πρὸς Ξέρξην τά περ ὀπώπεε πάντα.

Ἀκούων δὲ Ξέρξης οὐκ εἶχε συμβαλέσθαι τὸ ἐόν, ὅτι παρεσκευάζοντο ὡς ἀπολεόμενοί τε καὶ ἀπολέοντες κατὰ δύναμιν· ἀλλ' αὐτῷ γελοῖα γὰρ ἐφαίνοντο ποιέειν, μετεπέμψατο Δημάρητον τὸν Ἀρίστωνος, ἐόντα ἐν τῷ στρατοπέδῳ. Ἀπικόμενον δέ μιν εἰρώτα Ξέρξης ἕκαστα τούτων, ἐθέλων μαθεῖν τὸ ποιεύμενον πρὸς τῶν Λακεδαιμονίων. Ὁ δὲ εἶπε· Ἤκουσας μὲν καὶ πρότερόν μεο, εὖτε ὁρμῶμεν ἐπὶ τὴν Ἑλλάδα, περὶ τῶν ἀνδρῶν τούτων· ἀκούσας δὲ γέλωτά με ἔθεο λέγοντα τῇ περ ὥρων ἐκβησόμενα τὰ πρήγματα ταῦτα. Ἐμοὶ γὰρ τὴν ἀληθείην ἀσκέειν ἀντία σέο, ὦ βασιλεῦ, ἀγὼν μέγιστός ἐστι· ἄκουσον δὲ καὶ νῦν. Οἱ ἄνδρες οὗτοι ἀπίκαται μαχησόμενοι ἡμῖν περὶ τῆς ἐσόδου καὶ ταῦτα παρασκευάζονται. Νόμος γάρ σφι οὕτω ἔχων ἐστί· ἐπεὰν μέλλωσι κινδυνεύειν τῇ ψυχῇ, τότε τὰς κεφαλὰς κοσμέονται. Ἐπίσταso δέ· εἰ τούτους τε καὶ τὸ ὑπομένον ἐν Σπάρτῃ καταστρέψεαι, ἔστι οὐδὲν ἄλλο ἔθνος ἀνθρώπων τὸ σέ, βασιλεῦ, ὑπομενέει χεῖρας ἀνταειρόμενον· νῦν γὰρ πρὸς βασιληίην τε καλλίστην τῶν ἐν Ἕλλησι προσφέρεαι καὶ ἄνδρας ἀρίστους. Κάρτα τε δὴ Ξέρξῃ ἄπιστα ἐφαίνετο τὰ λεγόμενα εἶναι, καὶ δεύτερα ἐπειρώτα ὅντινα τρόπον τοσοῦτοι ἐόντες τῇ ἑωυτοῦ στρατιῇ μαχήσονται. Ὁ δὲ εἶπε· Ὦ βασιλεῦ, ἐμοὶ χρᾶσθαι ὡς ἀνδρὶ ψεύστῃ, ἢν μὴ ταῦτά τοι ταύτῃ ἐκβῇ τῇ ἐγὼ λέγω.

Ταῦτα λέγων οὐκ ἔπειθε τὸν Ξέρξην. Τέσσερας μὲν δὴ παρῆκε ἡμέρας, ἐλπίζων αἰεί σφεας ἀποδρήσεσθαι· πέμπτῃ δέ, ὡς οὐκ ἀπαλλάσσοντο ἀλλά οἱ ἐφαίνοντο ἀναιδείῃ τε καὶ ἀβουλίῃ διαχρεώμενοι μένειν, πέμπει ἐπ' αὐτοὺς Μήδους τε καὶ Κισσίους θυμωθείς, ἐντειλάμενός σφεας ζωγρήσαντας ἄγειν ἐς ὄψιν τὴν ἑωυτοῦ. Ὡς δ' ἐσέπεσον φερόμενοι ἐς τοὺς Ἕλληνας οἱ Μῆδοι, ἔπιπτον πολλοί, ἄλλοι δ' ἐπεσήισαν, καὶ οὐκ ἀπήλαυνον καίπερ μεγάλως προσπταίοντες. Δῆλον δ' ἐποίευν παντί τεῳ καὶ οὐκ ἥκιστα αὐτῷ βασιλέϊ ὅτι πολλοὶ μὲν ἄνθρωποι εἶεν, ὀλίγοι δὲ ἄνδρες. Ἐγίνετο δὲ ἡ συμβολὴ δι' ἡμέρης. Ἐπείτε δὲ οἱ Μῆδοι τρηχέως περιείποντο, ἐνθαῦτα οὗτοι μὲν ὑπεξήισαν, οἱ δὲ Πέρσαι ἐκδεξάμενοι ἐπήισαν, τοὺς Ἀθανάτους ἐκάλεε βασιλεύς, τῶν ἦρχε Ὑδάρνης, ὡς δὴ οὗτοί γε εὐπετέως κατεργασόμενοι. Ὡς δὲ καὶ οὗτοι συνέμισγον τοῖσι Ἕλλησι, οὐδὲν πλέον ἐφέροντο τῆς στρατιῆς τῆς Μηδικῆς ἀλλὰ τὰ αὐτά, ἅτε ἐν στεινοπόρῳ τε χώρῳ μαχόμενοι καὶ δόρασι βραχυτέροισι χρεώμενοι ἢ περ οἱ Ἕλληνες καὶ οὐκ ἔχοντες πλήθεϊ χρήσασθαι. Λακεδαιμόνιοι δὲ ἐμάχοντο ἀξίως λόγου, ἄλλα τε ἀποδεικνύμενοι ἐν οὐκ ἐπισταμένοισι μάχεσθαι ἐξεπιστάμενοι, καὶ ὅκως ἐντρέψειαν τὰ νῶτα, ἀλέες φεύγεσκον δῆθεν, οἱ δὲ βάρβαροι ὁρῶντες φεύγοντας βοῇ τε καὶ πατάγῳ ἐπήισαν, οἱ δ' ἂν καταλαμβανόμενοι

ὑπέστρεφον ἀντίοι εἶναι τοῖσι βαρβάροισι, μεταστρεφόμενοι δὲ κατέβαλλον πλήθεϊ ἀναριθμήτους τῶν Περσέων. Ἔπιπτον δὲ καὶ αὐτῶν τῶν Σπαρτιητέων ἐνθαῦτα ὀλίγοι. Ἐπεὶ δὲ οὐδὲν ἐδυνέατο παραλαβεῖν οἱ Πέρσαι τῆς ἐσόδου πειρώμενοι καὶ κατὰ τέλεα καὶ παντοίως προσβάλλοντες, ἀπήλαυνον ὀπίσω. Ἐν ταύτῃσι τῇσι προσόδοισι τῆς μάχης λέγεται βασιλέα θηεύμενον τρὶς ἀναδραμεῖν ἐκ τοῦ θρόνου, δείσαντα περὶ τῇ στρατιῇ. Τότε μὲν οὕτω ἠγωνίσαντο. Τῇ δ' ὑστεραίῃ οἱ βάρβαροι οὐδὲν ἄμεινον ἀέθλεον· ἅτε γὰρ ὀλίγων ἐόντων, ἐλπίσαντές σφεας κατατετρωματίσθαι τε καὶ οὐκ οἵους τε ἔσεσθαι ἔτι χεῖρας ἀντα-είρεσθαι συνέβαλλον. Οἱ δὲ Ἕλληνες κατὰ τάξις τε καὶ κατὰ ἔθνεα κεκοσμημένοι ἦσαν καὶ ἐν μέρεϊ ἕκαστοι ἐμάχοντο, πλὴν Φωκέων· οὗτοι δὲ ἐς τὸ ὄρος ἐτάχθησαν φυλάξοντες τὴν ἀτραπόν. Ὡς δὲ οὐδὲν εὗρισκον ἀλλοιότερον οἱ Πέρσαι ἢ τῇ προτεραίῃ ἐνώρων, ἀπήλαυνον.

Ἀπορέοντος δὲ βασιλέος ὅ τι χρήσηται τῷ παρεόντι πρήγματι, Ἐπιάλτης ὁ Εὐρυδήμου ἀνὴρ Μηλιεὺς ἦλθέ οἱ ἐς λόγους ὡς μέγα τι παρὰ βασιλέος δοκέων οἴσεσθαι, ἔφρασέ τε τὴν ἀτραπὸν τὴν διὰ τοῦ ὄρεος φέρουσαν ἐς Θερμοπύλας, καὶ διέφθειρε τοὺς ταύτῃ ὑπο-μείναντας Ἑλλήνων. Ὕστερον δὲ δείσας Λακεδαιμονίους ἔφυγε ἐς Θεσσαλίην, καί οἱ φυγόντι ὑπὸ τῶν Πυλαγόρων, τῶν Ἀμφικτυόνων ἐς τὴν Πυλαίην συλλεγομένων, ἀργύ-ριον ἐπεκηρύχθη. Χρόνῳ δὲ ὕστερον, κατῆλθε γὰρ ἐς Ἀντικύρην, ἀπέθανε ὑπὸ Ἀθηνάδεω ἀνδρὸς Τρηχινίου· ὁ δὲ Ἀθηνάδης οὗτος ἀπέκτεινε μὲν Ἐπιάλτην δι' ἄλλην αἰτίην, τὴν ἐγὼ ἐν τοῖσι ὄπισθε λόγοισι σημανέω, ἐτιμήθη μέντοι ὑπὸ Λακεδαιμονίων οὐδὲν ἧσσον. Ἐπιάλτης μὲν οὕτω ὕστερον τούτων ἀπέθανε.

Ἔστι δὲ ἕτερος λεγόμενος λόγος, ὡς Ὀνήτης τε ὁ Φαναγόρεω ἀνὴρ Καρύστιος καὶ Κορυ-δαλλὸς Ἀντικυρεύς εἰσι οἱ εἶπαντες πρὸς βασιλέα τούτους τοὺς λόγους καὶ περιηγησάμενοι τὸ ὄρος τοῖσι Πέρσῃσι, οὐδαμῶς ἔμοιγε πιστός. Τοῦτο μὲν γὰρ τῷδε χρὴ σταθμώσασθαι, ὅτι οἱ τῶν Ἑλλήνων Πυλαγόροι ἐπεκήρυξαν οὐκ ἐπὶ Ὀνήτῃ τε καὶ Κορυδαλλῷ ἀργύ-ριον ἀλλ' ἐπὶ Ἐπιάλτῃ τῷ Τρηχινίῳ, πάντως κου τὸ ἀτρεκέστατον πυθόμενοι. Τοῦτο δὲ φεύγοντα Ἐπιάλτην ταύτην τὴν αἰτίην οἴδαμεν· εἰδείη μὲν γὰρ ἂν καὶ ἐὼν μὴ Μηλιεὺς ταύτην τὴν ἀτραπὸν Ὀνήτης, εἰ τῇ χώρῃ πολλὰ ὠμιληκὼς εἴη. Ἀλλ' Ἐπιάλτης γάρ ἐ-στι ὁ περιηγησάμενος τὸ ὄρος κατὰ τὴν ἀτραπόν, τοῦτον αἴτιον γράφω. Ξέρξης δέ, ἐπεί οἱ ἤρεσε τὰ ὑπέσχετο ὁ Ἐπιάλτης κατεργάσεσθαι, αὐτίκα περιχαρὴς γενόμενος ἔπεμπε Ὑδάρνεα καὶ τῶν ἑστρατήγεε Ὑδάρνης· ὁρμέατο δὲ περὶ λύχνων ἁφὰς ἐκ τοῦ στρατοπέ-δου. Τὴν δὲ ἀτραπὸν ταύτην ἐξεῦρον μὲν οἱ ἐπιχώριοι Μηλιέες, ἐξευρόντες δὲ Θεσσαλοῖσι κατηγήσαντο ἐπὶ Φωκέας, τότε ὅτε οἱ Φωκέες φράξαντες τείχεϊ τὴν ἐσβολὴν ἦσαν ἐν σκέπῃ τοῦ πολέμου· ἔκ τε τοσοῦδε κατεδέδεκτο ἐοῦσα οὐδὲν χρηστὴ Μηλιεῦσι. Ἔχει δὲ ὧδε ἡ ἀτραπὸς αὕτη. Ἄρχεται μὲν ἀπὸ τοῦ Ἀσωποῦ ποταμοῦ τοῦ διὰ τῆς διασφάγος ῥέοντος, οὔνομα δὲ τῷ ὄρεϊ τούτῳ καὶ τῇ ἀτραπῷ τὠυτὸ κεῖται, Ἀνόπαια· τείνει δὲ ἡ Ἀνόπαια αὕτη κατὰ ῥάχιν τοῦ ὄρεος, λήγει δὲ κατά τε Ἀλπηνὸν πόλιν, πρώτην ἐοῦσαν τῶν Λοκρί-δων πρὸς τῶν Μηλιέων, καὶ κατὰ Μελαμπύγου τε καλεόμενον λίθον καὶ κατὰ Κερκώπων ἕδρας, τῇ καὶ τὸ στεινότατόν ἐστι.

Κατὰ ταύτην δὴ τὴν ἀτραπὸν καὶ οὕτω ἔχουσαν οἱ Πέρσαι τὸν Ἀσωπὸν διαβάντες ἐ-πορεύοντο πᾶσαν τὴν νύκτα, ἐν δεξιῇ μὲν ἔχοντες ὄρεα τὰ Οἰταίων, ἐν ἀριστερῇ δὲ τὰ Τρηχινίων. Ἠώς τε δὴ διέφαινε καὶ οἳ ἐγένοντο ἐπ' ἀκρωτηρίῳ τοῦ ὄρεος. Κατὰ δὲ τοῦτο τοῦ ὄρεος ἐφύλασσον, ὡς καὶ πρότερόν μοι δεδήλωται, Φωκέων χίλιοι ὁπλῖται, ῥυόμενοί τε τὴν σφετέρην χώρην καὶ φρουρέοντες τὴν ἀτραπόν· ἡ μὲν γὰρ κάτω ἐσβολὴ ἐφυλάσσετο ὑπὸ τῶν εἴρηται· τὴν δὲ διὰ τοῦ ὄρεος ἀτραπὸν ἐθελονταὶ Φωκέες ὑποδεξάμενοι Λεωνίδῃ ἐφύλασσον.

Ἔμαθον δέ σφεας οἱ Φωκέες ὧδε ἀναβεβηκότας· ἀναβαίνοντες γὰρ ἐλάνθανον οἱ Πέρσαι τὸ ὄρος πᾶν ἐὸν δρυῶν ἐπίπλεον. Ἦν μὲν δὴ νηνεμίη, ψόφου δὲ γινομένου πολλοῦ, ὡς οἰκὸς ἦν φύλλων ὑποκεχυμένων ὑπὸ τοῖσι ποσί, ἀνά τε ἔδραμον οἱ Φωκέες καὶ ἐνέδυνον τὰ ὅπλα, καὶ αὐτίκα οἱ βάρβαροι παρῆσαν. Ὡς δὲ εἶδον ἄνδρας ἐνδυομένους ὅπλα, ἐν θώματι ἐγένοντο· ἐλπόμενοι γὰρ οὐδέν σφι φανήσεσθαι ἀντίξοον ἐνεκύρησαν στρατῷ· ἐνθαῦτα Ὑδάρνης, καταρρωδήσας μὴ οἱ Φωκέες ἔωσι Λακεδαιμόνιοι, εἴρετο Ἐπιάλτην ὁκοδαπὸς εἴη ὁ στρατός· πυθόμενος δὲ ἀτρεκέως διέτασσε τοὺς Πέρσας ὡς ἐς μάχην. Οἱ δὲ Φωκέες ὡς ἐβάλλοντο τοῖσι τοξεύμασι πολλοῖσί τε καὶ πυκνοῖσι, οἴχοντο φεύγοντες ἐπὶ τοῦ ὄρεος τὸν κόρυμβον, ἐπιστάμενοι ὡς ἐπὶ σφέας ὁρμήθησαν ἀρχήν, καὶ παρεσκευάδατο ὡς ἀπολεόμενοι. Οὗτοι μὲν δὴ ταῦτα ἐφρόνεον, οἱ δὲ ἀμφὶ Ἐπιάλτην καὶ Ὑδάρνεα Πέρσαι Φωκέων μὲν οὐδένα λόγον ἐποιεῦντο, οἱ δὲ κατέβαινον τὸ ὄρος κατὰ τάχος.

Τοῖσι δὲ ἐν Θερμοπύλῃσι ἐοῦσι Ἑλλήνων πρῶτον μὲν ὁ μάντις Μεγιστίης ἐσιδὼν ἐς τὰ ἱρὰ ἔφρασε τὸν μέλλοντα ἔσεσθαι ἅμα ἠοῖ σφι θάνατον, ἐπὶ δὲ καὶ αὐτόμολοι ἦσαν οἱ ἐξαγγείλαντες τῶν Περσέων τὴν περίοδον· οὗτοι μὲν ἔτι νυκτὸς ἐσήμηναν, τρίτοι δὲ οἱ ἡμεροσκόποι καταδραμόντες ἀπὸ τῶν ἄκρων ἤδη διαφαινούσης ἡμέρης. Ἐνθαῦτα ἐβουλεύοντο οἱ Ἕλληνες, καί σφεων ἐσχίζοντο αἱ γνῶμαι· οἱ μὲν γὰρ οὐκ ἔων τὴν τάξιν ἐκλιπεῖν, οἱ δὲ ἀντέτεινον. Μετὰ δὲ τοῦτο διακριθέντες οἱ μὲν ἀπαλλάσσοντο καὶ διασκεδασθέντες κατὰ πόλις ἕκαστοι ἐτρέποντο, οἱ δὲ αὐτῶν ἅμα Λεωνίδῃ μένειν αὐτοῦ παρεσκευάδατο.

Λέγεται δὲ καὶ ὡς αὐτός σφεας ἀπέπεμψε Λεωνίδης, μὴ ἀπόλωνται κηδόμενος· αὐτῷ δὲ καὶ Σπαρτιητέων τοῖσι παρεοῦσι οὐκ ἔχειν εὐπρεπέως ἐκλιπεῖν τὴν τάξιν ἐς τὴν ἦλθον φυλάξοντες ἀρχήν. Ταύτῃ καὶ μᾶλλον τὴν γνώμην πλεῖστός εἰμι· Λεωνίδην, ἐπείτε ᾔσθετο τοὺς συμμάχους ἐόντας ἀπροθύμους καὶ οὐκ ἐθέλοντας συνδιακινδυνεύειν, κελεῦσαί σφεας ἀπαλλάσσεσθαι, αὐτῷ δὲ ἀπιέναι οὐ καλῶς ἔχειν· μένοντι δὲ αὐτοῦ κλέος μέγα ἐλείπετο, καὶ ἡ Σπάρτης εὐδαιμονίη οὐκ ἐξηλείφετο. Ἐκέχρητο γὰρ ὑπὸ τῆς Πυθίης τοῖσι Σπαρτιήτῃσι χρεωμένοισι περὶ τοῦ πολέμου τούτου αὐτίκα κατ' ἀρχὰς ἐγειρομένου, ἢ Λακεδαίμονα ἀνάστατον γενέσθαι ὑπὸ τῶν βαρβάρων, ἢ τὸν βασιλέα σφέων ἀπολέσθαι. Ταῦτα δέ σφι ἐν ἔπεσι ἑξαμέτροισι χρᾷ λέγοντα ὧδε·

> Ὑμῖν δ', ὦ Σπάρτης οἰκήτορες εὐρυχόροιο,
> ἢ μέγα ἄστυ ἐρικυδὲς ὑπ' ἀνδράσι Περσείδῃσι
> πέρθεται, ἢ τὸ μὲν οὐχί, ἀφ' Ἡρακλέους δὲ γενέθλης
> πενθήσει βασιλῆ φθίμενον Λακεδαίμονος οὖρος·
> οὐ γὰρ τὸν ταύρων σχήσει μένος οὐδὲ λεόντων
> ἀντιβίην· Ζηνὸς γὰρ ἔχει μένος· οὐδέ ἕ φημι
> σχήσεσθαι, πρὶν τῶνδ' ἕτερον διὰ πάντα δάσηται.

Ταῦτά τε δὴ ἐπιλεγόμενον Λεωνίδην καὶ βουλόμενον κλέος καταθέσθαι μούνων Σπαρτιητέων, ἀποπέμψαι τοὺς συμμάχους μᾶλλον ἢ γνώμῃ διενειχθέντας οὕτω ἀκόσμως οἴχεσθαι τοὺς οἰχομένους. Μαρτύριον δέ μοι καὶ τόδε οὐκ ἐλάχιστον τούτου πέρι γέγονε, ὅτι καὶ τὸν μάντιν ὃς εἵπετο τῇ στρατιῇ ταύτῃ, Μεγιστίην τὸν Ἀκαρνῆνα, λεγόμενον εἶναι τἀνέκαθεν ἀπὸ Μελάμποδος, τοῦτον τὸν εἵπαντα ἐκ τῶν ἱρῶν τὰ μέλλοντά σφι ἐκβαίνειν, φανερός ἐστι Λεωνίδης ἀποπέμπων, ἵνα μὴ συναπόληταί σφι. Ὁ δὲ ἀποπεμπόμενος αὐτὸς μὲν οὐκ ἀπέλιπε, τὸν δὲ παῖδα συστρατευόμενον, ἐόντα οἱ μουνογενέα, ἀπέπεμψε.

Οἱ μέν νυν σύμμαχοι οἱ ἀποπεμπόμενοι οἴχοντό τε ἀπιόντες καὶ ἐπείθοντο Λεωνίδῃ, Θεσπιέες δὲ καὶ Θηβαῖοι κατέμειναν μοῦνοι παρὰ Λακεδαιμονίοισι. Τούτων δὲ Θηβαῖοι μὲν ἀέκοντες ἔμενον καὶ οὐ βουλόμενοι (κατεῖχε γάρ σφεας Λεωνίδης ἐν ὁμήρων λόγῳ ποιεύμενος), Θεσπιέες δὲ ἑκόντες μάλιστα, οἳ οὐκ ἔφασαν ἀπολιπόντες Λεωνίδην καὶ τοὺς μετ'

αὐτοῦ ἀπαλλάξεσθαι, ἀλλὰ καταμείναντες συναπέθανον· ἐστρατήγεε δὲ αὐτῶν Δημόφιλος Διαδρόμεω.

Ξέρξης δὲ ἐπεὶ ἡλίου ἀνατείλαντος σπονδὰς ἐποιήσατο, ἐπισχὼν χρόνον ἐς ἀγορῆς κου μάλιστα πληθώρην πρόσοδον ἐποιέετο· καὶ γὰρ ἐπέσταλτο ἐξ Ἐπιάλτεω οὕτω· ἀπὸ γὰρ τοῦ ὄρεος ἡ κατάβασις συντομωτέρη τέ ἐστι καὶ βραχύτερος ὁ χῶρος πολλὸν ἤ περ ἡ περίοδός τε καὶ ἀνάβασις. Οἵ τε δὴ βάρβαροι οἱ ἀμφὶ Ξέρξην προσήισαν καὶ οἱ ἀμφὶ Λεωνίδην Ἕλληνες, ὡς τὴν ἐπὶ θανάτῳ ἔξοδον ποιεύμενοι, ἤδη πολλῷ μᾶλλον ἢ κατ' ἀρχὰς ἐπεξήισαν ἐς τὸ εὐρύτερον τοῦ αὐχένος. Τὸ μὲν γὰρ ἔρυμα τοῦ τείχεος ἐφυλάσσετο, οἱ δὲ ἀνὰ τὰς προτέρας ἡμέρας ὑπεξιόντες ἐς τὰ στεινόπορα ἐμάχοντο· τότε δὲ συμμίσγοντες ἔξω τῶν στεινῶν ἔπιπτον πλήθεϊ πολλοὶ τῶν βαρβάρων· ὄπισθε γὰρ οἱ ἡγεμόνες τῶν τελέων ἔχοντες μάστιγας ἐρράπιζον πάντα ἄνδρα, αἰεὶ ἐς τὸ πρόσω ἐποτρύνοντες. Πολλοὶ μὲν δὴ ἐσέπιπτον αὐτῶν ἐς τὴν θάλασσαν καὶ διεφθείροντο, πολλῷ δ' ἔτι πλέονες κατεπατέοντο ζωοὶ ὑπ' ἀλλήλων· ἦν δὲ λόγος οὐδεὶς τοῦ ἀπολλυμένου. Ἅτε γὰρ ἐπιστάμενοι τὸν μέλλοντά σφι ἔσεσθαι θάνατον ἐκ τῶν περιιόντων τὸ ὄρος, ἀπεδείκνυντο ῥώμης ὅσον εἶχον μέγιστον ἐς τοὺς βαρβάρους, παραχρεώμενοί τε καὶ ἀτέοντες. Δόρατα μέν νυν τοῖσι πλέοσι αὐτῶν τηνικαῦτα ἤδη ἐτύγχανε κατεηγότα, οἱ δὲ τοῖσι ξίφεσι διεργάζοντο τοὺς Πέρσας. Καὶ Λεωνίδης τε ἐν τούτῳ τῷ πόνῳ πίπτει ἀνὴρ γενόμενος ἄριστος, καὶ ἕτεροι μετ' αὐτοῦ ὀνομαστοὶ Σπαρτιητέων, τῶν ἐγὼ ὡς ἀνδρῶν ἀξίων γενομένων ἐπυθόμην τὰ οὐνόματα, ἐπυθόμην δὲ καὶ ἁπάντων τῶν τριηκοσίων. Καὶ δὴ καὶ Περσέων πίπτουσι ἐνθαῦτα ἄλλοι τε πολλοὶ καὶ ὀνομαστοί, ἐν δὲ δὴ καὶ Δαρείου δύο παῖδες, Ἀβροκόμης τε καὶ Ὑπεράνθης, ἐκ τῆς Ἀρτάνεω θυγατρὸς Φραταγούνης γεγονότες Δαρείῳ· ὁ δὲ Ἀρτάνης Δαρείου μὲν τοῦ βασιλέος ἦν ἀδελφεός, Ὑστάσπεος δὲ τοῦ Ἀρσάμεος παῖς· ὃς καὶ ἐκδιδοὺς τὴν θυγατέρα Δαρείῳ τὸν οἶκον πάντα τὸν ἑωυτοῦ ἐπέδωκε, ὡς μούνου οἱ ἐούσης ταύτης τέκνου.

Ξέρξεώ τε δὴ δύο ἀδελφεοὶ ἐνθαῦτα πίπτουσι μαχόμενοι, καὶ ὑπὲρ τοῦ νεκροῦ τοῦ Λεωνίδεω Περσέων τε καὶ Λακεδαιμονίων ὠθισμὸς ἐγίνετο πολλός, ἐς ὃ τοῦτόν τε ἀρετῇ οἱ Ἕλληνες ὑπεξείρυσαν καὶ ἐτρέψαντο τοὺς ἐναντίους τετράκις. Τοῦτο δὲ συνεστήκεε μέχρι οὗ οἱ σὺν Ἐπιάλτῃ παρεγένοντο. Ὡς δὲ τούτους ἤκειν ἐπύθοντο οἱ Ἕλληνες, ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ νεῖκος· ἔς τε γὰρ τὸ στεινὸν τῆς ὁδοῦ ἀνεχώρεον ὀπίσω καὶ παραμειψάμενοι τὸ τεῖχος ἐλθόντες ἵζοντο ἐπὶ τὸν κολωνὸν πάντες ἁλέες οἱ ἄλλοι πλὴν Θηβαίων· ὁ δὲ κολωνός ἐστι ἐν τῇ ἐσόδῳ, ὅκου νῦν ὁ λίθινος λέων ἕστηκε ἐπὶ Λεωνίδῃ. Ἐν τούτῳ σφέας τῷ χώρῳ ἀλεξομένους μαχαίρῃσι, τοῖσι αὐτῶν ἐτύγχανον ἔτι περιεοῦσαι, καὶ χερσὶ καὶ στόμασι κατέχωσαν οἱ βάρβαροι βάλλοντες, οἱ μὲν ἐξ ἐναντίης ἐπισπόμενοι καὶ τὸ ἔρυμα τοῦ τείχεος συγχώσαντες, οἱ δὲ περιελθόντες πάντοθεν περισταδόν. Λακεδαιμονίων δὲ καὶ Θεσπιέων τοιούτων γενομένων ὅμως λέγεται ἀνὴρ ἄριστος γενέσθαι Σπαρτιήτης Διηνέκης τὸν τόδε φασὶ εἰπεῖν τὸ ἔπος πρὶν ἢ συμμεῖξαί σφεας τοῖσι Μήδοισι, πυθόμενον πρός τεο τῶν Τρηχινίων ὡς ἐπεὰν οἱ βάρβαροι ἀπίωσι τὰ τοξεύματα, τὸν ἥλιον ὑπὸ τοῦ πλήθεος τῶν ὀϊστῶν ἀποκρύπτουσι· τοσοῦτο τὸ πλῆθος αὐτῶν εἶναι· τὸν δὲ οὐκ ἐκπλαγέντα τούτοισι εἰπεῖν, ἐν ἀλογίῃ ποιεύμενον τὸ τῶν Μήδων πλῆθος, ὡς πάντα σφι ἀγαθὰ ὁ Τρηχίνιος ξεῖνος ἀγγέλλοι, εἰ ἀποκρυπτόντων τῶν Μήδων τὸν ἥλιον ὑπὸ σκιῇ ἔσοιτο πρὸς αὐτοὺς ἡ μάχη καὶ οὐκ ἐν ἡλίῳ. Ταῦτα μὲν καὶ ἄλλα τοιουτότροπα ἔπεά φασι Διηνέκεα τὸν Λακεδαιμόνιον λιπέσθαι μνημόσυνα.

Μετὰ δὲ τοῦτον ἀριστεῦσαι λέγονται Λακεδαιμόνιοι δύο ἀδελφεοί, Ἀλφεός τε καὶ Μάρων Ὀρσιφάντου παῖδες. Θεσπιέων δὲ εὐδοκίμεε

μάλιστα τῷ οὔνομα ἦν Διθύραμβος Ἁρματίδεω. Θαφθεῖσι δέ σφι αὐτοῦ ταύτῃ τῇ περ ἔπεσον καὶ τοῖσι πρότερον τελευτήσασι ἢ τοὺς ὑπὸ Λεωνίδεω ἀποπεμφθέντας οἰχεσθαι ἐπιγέγραπται γράμματα λέγοντα τάδε·

Μυριάσιν ποτὲ τῇδε τριακοσίαις ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

Ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται, τοῖσι δὲ Σπαρτιήτῃσι ἰδίη·

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

Λακεδαιμονίοισι μὲν δὴ τοῦτο, τῷ δὲ μάντι τόδε·

Μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
μάντιος, ὃς τότε Κῆρας ἐπερχομένας σάφα εἰδὼς
οὐκ ἔτλη Σπάρτης ἡγεμόνα προλιπεῖν.

Ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἔξω ἢ τὸ τοῦ μάντιος ἐπίγραμμα, Ἀμφικτύονές εἰσί σφεας οἱ ἐπικοσμήσαντες· τὸ δὲ τοῦ μάντιος Μεγιστίεω Σιμωνίδης ὁ Λεωπρέπεός ἐστι κατὰ ξεινίην ὁ ἐπιγράψας.

Δύο δὲ τούτων τῶν τριηκοσίων λέγεται Εὔρυτόν τε καὶ Ἀριστόδημον, παρεὸν αὐτοῖσι ἀμφοτέροισι κοινῷ λόγῳ χρησαμένοισι ἢ ἀποσωθῆναι ὁμοῦ ἐς Σπάρτην, ὡς μεμετιμένοι τε ἦσαν ἐκ τοῦ στρατοπέδου ὑπὸ Λεωνίδεω καὶ κατεκέατο ἐν Ἀλπηνοῖσι ὀφθαλμιῶντες ἐς τὸ ἔσχατον, ἢ εἴ γε μὴ ἐβούλοντο νοστῆσαι, ἀποθανεῖν ἅμα τοῖσι ἄλλοισι, παρεόν σφι τούτων τὰ ἕτερα ποιέειν, οὐκ ἐθελῆσαι ὁμοφρονέειν, ἀλλὰ γνώμῃ διενειχθέντας Εὔρυτον μὲν πυθόμενον τῶν Περσέων τὴν περίοδον αἰτήσαντά τε τὰ ὅπλα καὶ ἐνδύντα ἄγειν αὐτὸν κελεῦσαι τὸν εἵλωτα ἐς τοὺς μαχομένους, ὅκως δὲ αὐτὸν ἤγαγε, τὸν μὲν ἀγαγόντα οἰχεσθαι φεύγοντα, τὸν δὲ ἐσπεσόντα ἐς τὸν ὅμιλον διαφθαρῆναι, Ἀριστόδημον δὲ λιποψυχέοντα λειφθῆναι. Εἰ μέν νυν ἦν μοῦνον Ἀριστόδημον ἀλγήσαντα ἀπονοστῆσαι ἐς Σπάρτην ἢ καὶ ὁμοῦ σφεων ἀμφοτέρων τὴν κομιδὴν γενέσθαι, δοκέειν ἐμοὶ οὐκ ἄν σφι Σπαρτιήτας μῆνιν οὐδεμίαν προσθέσθαι· νῦν δέ, τοῦ μὲν αὐτῶν ἀπολομένου, τοῦ δὲ τῆς μὲν αὐτῆς ἐχομένου προφάσιος οὐκ ἐθελήσαντος δὲ ἀποθνῄσκειν, ἀναγκαίως σφι ἔχειν μηνῖσαι μεγάλως Ἀριστοδήμῳ. Οἱ μέν νυν οὕτω σωθῆναι λέγουσι Ἀριστόδημον ἐς Σπάρτην καὶ διὰ πρόφασιν τοιήνδε, οἱ δὲ ἄγγελον πεμφθέντα ἐκ τοῦ στρατοπέδου, ἐξεὸν αὐτῷ καταλαβεῖν τὴν μάχην γινομένην οὐκ ἐθελῆσαι, ἀλλ' ὑπομείναντα ἐν τῇ ὁδῷ περιγενέσθαι, τὸν δὲ συνάγγελον αὐτοῦ ἀπικόμενον ἐς τὴν μάχην ἀποθανεῖν. Ἀπονοστήσας δὲ ἐς Λακεδαίμονα ὁ Ἀριστόδημος ὄνειδός τε εἶχε καὶ ἀτιμίην· πάσχων δὲ τοιάδε ἠτίμωτο· οὔτε οἱ πῦρ οὐδεὶς ἔναυε Σπαρτιητέων οὔτε διελέγετο, ὀνειδός τε εἶχε ὁ τρέσας Ἀριστόδημος καλεόμενος. Ἀλλ' ὁ μὲν ἐν τῇ ἐν Πλαταιῇσι μάχῃ ἀνέλαβε πᾶσαν τὴν ἐπενειχθεῖσαν αἰτίην. Λέγεται δὲ καὶ ἄλλον ἀποπεμφθέντα ἄγγελον ἐς Θεσσαλίην τῶν τριηκοσίων τούτων περιγενέσθαι, τῷ οὔνομα εἶναι Παντίτην· νοστήσαντα δὲ τοῦτον ἐς Σπάρτην, ὡς ἠτίμωτο, ἀπάγξασθαι. Οἱ δὲ Θηβαῖοι, τῶν ὁ Λεοντιάδης ἐστρατήγεε, τέως μὲν μετὰ τῶν Ἑλλήνων ἐόντες ἐμάχοντο ὑπ' ἀναγκαίης ἐχόμενοι πρὸς τὴν βασιλέος στρατιήν· ὡς δὲ εἶδον κατυπέρτερα τῶν Περσέων γινόμενα τὰ πρήγματα, οὕτω δή, τῶν σὺν Λεωνίδῃ Ἑλλήνων ἐπειγομένων ἐπὶ τὸν κολωνόν, ἀποσχισθέντες τούτων χεῖράς τε προέτεινον καὶ ἦισαν ἄσσον τῶν βαρβάρων, λέγοντες τὸν ἀληθέστατον τῶν λόγων, ὡς καὶ μηδίζουσι καὶ γῆν τε καὶ ὕδωρ ἐν πρώτοισι ἔδοσαν ἂν βασιλέϊ, ὑπὸ δὲ ἀναγκαίης ἐχόμενοι ἐς Θερμοπύλας ἀπικοίατο καὶ ἀναίτιοι εἶεν τοῦ τρώματος τοῦ γεγονότος βασιλέϊ· ὥστε ταῦτα λέγοντες περιεγένοντο· εἶχον γὰρ καὶ Θεσσαλοὺς τούτων τῶν λόγων μάρτυρας. Οὐ μέντοι τά γε πάντα εὐτύχησαν· ὡς

γὰρ αὐτοὺς ἔλαβον οἱ βάρβαροι ἐλθόντας, τοὺς μέν τινας καὶ ἀπέκτειναν προσιόντας, τοὺς δὲ πλέονας αὐτῶν κελεύσαντος Ξέρξεω ἔστιξαν στίγματα βασιλήια, ἀρξάμενοι ἀπὸ τοῦ στρατηγοῦ Λεοντιάδεω, τοῦ τὸν παῖδα Εὐρύμαχον χρόνῳ μετέπειτα ἐφόνευσαν Πλαταιέες στρατηγήσαντα ἀνδρῶν Θηβαίων τετρακοσίων καὶ σχόντα τὸ ἄστυ τὸ Πλαταιέων.

Az Ílias első éneke

Tanuló iskolai gyakorlata, amely az Ilias I. énekének tartalmát és az első 21 sor egyes szavainak magyarázatát adja. A homerosi eposzok, amelyek a görög iskolai oktatásnak minden időben tárgyai voltak, már az ókori görögök számára magyarázatra szorultak, nemcsak tárgyi, hanem nyelvi szempontból is. A homerosi költői nyelvet ugyanis sohasem beszélték, s annak egyes régies dialektikus elemeit a hellénisztikus, római és bizánci kori görög tanulóknak is külön meg kellett tanulniok, ha természetesen mint görög anyanyelvűek nem is küzdöttek olyan nagy nehézségekkel, mint a mai diákok. Ezért maradt ránk a papíruszok közt oly sok, az itt közölthöz hasonló „Homéros-preparáció".

(papírusz-töredék, Kr. u. III/IV. sz.)

᾽Αγαμέμνων αἰχμάλωτον ἔχων παλλακίδα ἱερέως ᾽Απόλλωνος Χρύσου θυγατέρα Χρυσηίδα οὐκ ἀπέδωκεν δεομένῳ λυτρώσασθαι τῷ πατρί. Διόπερ λοιμὸς κατέσχεν τοὺς ῞Ελληνας ἐπ᾽ ἐννέα ἡμέρας μηνίσαντος τοῦ θεοῦ, ἕως ᾽Αχιλλεὺς ἐπέγνω τὴν αἰτίαν. Κάλχαντος μαντευσαμένου καὶ ᾽Αγαμέμνων μὲν πρότερον ἐπὶ τῇ μαντείᾳ λοιδορησάμενος Κάλχαντι τὴν μὲν Χρυσήιδα ἀπέδωκε τῷ πατρί, τὴν δὲ θυσίαν τῷ θεῷ. Τὴν δὲ ᾽Αχιλλέως ἀφείλατο Βρισήιδα. Καὶ ᾽Αχιλλεὺς μὲν τῆς μητρὸς ἐδεήθη Θέτιδος, ὅπως αὐτῷ βοηθήσῃ. ῾Η δὲ παρεκάλεσε τὸν Δία ἐξ Αἰθιοπίας ἥκοντα ἐλαττῶσαι τοὺς ῞Ελληνας ἐν τῇ μαχῇ. ῞Ηρα δὲ ἔπειτ᾽ οὕτω διηνέχθη πρὸς αὐτόν. Καὶ νὺξ ἐγένετο γέλωτα παρὰ τὴν τῶν θεῶν εὐωχείαν παρασχόντος ῾Ηφαίστου. Περιέχει δὲ ἡ ῥαψῳδία ἡμέρας κα΄.

(Az első ének cselekményének 21 napra való beosztása Aristarchosra, a híres Homéros-magyarázóra megy vissza; egy másik magyarázó, Zénodotos 20 napot vett fel.)

Μῆνιν	ὀργήν
θεά	Μοῦσα
οὐλομένην	ὀλεθρίαν
ἣ μυρί᾽	ἥτις πολλά
ἔθηκεν	ἐποίησεν
ἰφθίμους	ἰσχυροφύχους
αὐτοὺς δέ	τὰ δὲ σώματα αὐτῶν
ἑλώρια	ἑλκύσματα, σπαράγματα
οἰωνοῖσι	τοῖς σαρκωφάγοις ὀρνέοις
ἐρίσαντε	φιλονικήσαντες
ξυνέηκε	ξυνέβαλε
χολωθείς	ὀργισθείς
νοῦσον	νόσον
ὄρσε	ἐφώρμησε
ὀλέκοντο	ἀπώλλυντο
οὕνεκα	διότι
ἠτίμησεν	ἄτιμον ἐποίησε
ἀρητῆρα	ἱερέα
λυσόμενος	λυτρωσόμενος
ἀπερείσια	ἄπειρα, πολλά
ἄποινα	λύτρα
στέμματα	τὰ ἱκετήρια
ἑκηβόλου	μακροβόλου
σκήπτρῳ	βασιλικῇ ῥάβδῳ
ἐλίσσετο	παρεκάλει
κοσμήτορε	ἡγεμόνες
᾽Ολύμπια δώματ᾽ ἔχοντες	τὸν ῞Ολυμπον κατοικοῦντες θεοί· ῞Ολυμπος δέ ἐστιν θεῶν ἐμ Μακεδονίᾳ οἰκητήριον
ἐκπέρσαι	ἐκπορθῆσαι
ἁζόμενοι	σεβόμενοι

(Moravcsik Gyula)

PLATÓN *Állam* CÍMŰ MŰVÉBEN a társadalmi igazságosság, az általa elképzelt tökéletes államforma jellegzetességeit elemzi. A dialógus főhőse, Sókratés arra a következtetésre jut, hogy bizonyos költők bizonyos műveit, köztük Homéros néhány botrányosnak ítélt versét nem szabad az ifjak kezébe adni. Homéros nem átall az istenek erkölcstelen tetteiről beszámolni. A költők olvasásának veszélye azonban nemcsak ebben rejlik. Platón filozófiai rendszere szerint a költők az utánzás folytán létrejött, bennünket körülvevő világot költeményeikben mégegyszer lemásolják. Az áttételes mimésis révén teljesen eltávolodunk a valóban létező ideák világától. Az igazságot ábrázoló költészet lehetetlenségét mutatja, hogy a költő hősei szavait is utánozza. Az előadásmód megválasztása során az Állam „őreinek" óvakodni kell a túlzott utánzástól.

[Ἀδείμαντος] Καὶ τοῦτο, ἦ δ' ὅς, ἔτι δέομαι σαφέστερον μαθεῖν. [Σωκράτης] Γελοῖος, ἦν δ' ἐγώ, ἔοικα διδάσκαλος εἶναι καὶ ἀσαφής· ὥσπερ οὖν οἱ ἀδύνατοι λέγειν, οὐ κατὰ ὅλον ἀλλ' ἀπολαβὼν μέρος τι πειράσομαί σοι ἐν τούτῳ δηλῶσαι ὃ βούλομαι. καί μοι εἰπέ· ἐπίστασαι τῆς Ἰλιάδος τὰ πρῶτα, ἐν οἷς ὁ ποιητὴς φησι τὸν μὲν Χρύσην δεῖσθαι τοῦ Ἀγαμέμνονος ἀπολῦσαι τὴν θυγατέρα, τὸν δὲ χαλεπαίνειν, τὸν δέ, ἐπειδὴ οὐκ ἐτύγχανεν, κατεύχεσθαι τῶν Ἀχαιῶν πρὸς τὸν θεόν; [Α.] Ἔγωγε. [Σ.] Οἶσθ' οὖν ὅτι μέχρι μὲν τούτων τῶν ἐπῶν *«καὶ ἐλίσσετο πάντας Ἀχαιούς, Ἀτρείδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν»* λέγει τε αὐτὸς ὁ ποιητὴς καὶ οὐδὲ ἐπιχειρεῖ ἡμῶν τὴν διάνοιαν ἄλλοσε τρέπειν ὡς ἄλλος τις ὁ λέγων ἢ αὐτός· τὰ δὲ μετὰ ταῦτα ὥσπερ αὐτὸς ὢν ὁ Χρύσης λέγει καὶ πειρᾶται ἡμᾶς ὅτι μάλιστα ποιῆσαι μὴ Ὅμηρον δοκεῖν εἶναι τὸν λέγοντα ἀλλὰ τὸν ἱερέα, πρεσβύτην ὄντα. καὶ τὴν ἄλλην δὴ πᾶσαν σχεδόν τι οὕτω πεποίηται διήγησιν περί τε τῶν ἐν Ἰλίῳ καὶ περὶ τῶν ἐν Ἰθάκῃ καὶ ὅλῃ Ὀδυσσείᾳ παθημάτων. [Α.] Πάνυ μὲν οὖν, ἔφη. [Σ.] Οὐκοῦν διήγησις μέν ἐστιν καὶ ὅταν τὰς ῥήσεις ἑκάστοτε λέγῃ καὶ ὅταν τὰ μεταξὺ τῶν ῥήσεων; [Α.] Πῶς γὰρ οὔ; [Σ.] Ἀλλ' ὅταν γέ τινα λέγῃ ῥῆσιν ὡς τις ἄλλος ὤν, ἆρ' οὐ τότε ὁμοιοῦν αὐτὸν φήσομεν ὅτι μάλιστα τὴν αὑτοῦ λέξιν ἑκάστῳ ὃν ἂν προείπῃ ὡς ἐροῦντα; [Α.] Φήσομεν· τί γάρ; [Σ.] Οὐκοῦν τό γε ὁμοιοῦν ἑαυτὸν ἄλλῳ ἢ κατὰ φωνὴν ἢ κατὰ σχῆμα μιμεῖσθαί ἐστιν ἐκεῖνον ᾧ ἄν τις ὁμοιοῖ; [Α.] Τί μήν; [Σ.] Ἐν δὴ τῷ τοιούτῳ, ὡς ἔοικεν, οὗτός τε καὶ οἱ ἄλλοι ποιηταὶ διὰ μιμήσεως τὴν διήγησιν ποιοῦνται. [Α.] Πάνυ μὲν οὖν. [Σ.] Εἰ δέ γε μηδαμοῦ ἑαυτὸν ἀποκρύπτοιτο ὁ ποιητής, πᾶσα ἂν αὐτῷ ἄνευ μιμήσεως ἡ ποίησίς τε καὶ διήγησις γεγονυῖα εἴη. ἵνα δὲ μὴ εἴπῃς ὅτι οὐκ αὖ μανθάνεις, ὅπως ἂν τοῦτο γένοιτο ἐγὼ φράσω. εἰ γὰρ Ὅμηρος εἰπὼν ὅτι ἦλθεν ὁ Χρύσης τῆς τε θυγατρὸς λύτρα φέρων καὶ ἱκέτης τῶν Ἀχαιῶν, μάλιστα δὲ τῶν βασιλέων, μετὰ τοῦτο μὴ ὡς Χρύσης γενόμενος ἔλεγεν ἀλλ' ἔτι ὡς Ὅμηρος, οἶσθ' ὅτι οὐκ ἂν μίμησις ἦν ἀλλὰ ἁπλῆ διήγησις. εἶχε δ' ἂν ὧδε πως – φράσω δὲ ἄνευ μέτρου· οὐ γάρ εἰμι ποιητικός – Ἐλθὼν ὁ ἱερεὺς ηὔχετο ἐκείνοις μὲν τοὺς θεοὺς δοῦναι ἑλόντας τὴν Τροίαν αὐτοὺς σωθῆναι, τὴν δὲ θυγατέρα οἱ λῦσαι δεξαμένους ἄποινα καὶ τὸν θεὸν αἰδεσθέντας. ταῦτα δὲ εἰπόντος αὐτοῦ οἱ μὲν ἄλλοι ἐσέβοντο καὶ συνήνουν, ὁ δὲ Ἀγαμέμνων ἠγρίαινεν ἐντελλόμενος νῦν τε ἀπιέναι καὶ αὖθις μὴ ἐλθεῖν, μὴ αὐτῷ τό τε σκῆπτρον καὶ τὰ τοῦ θεοῦ στέμματα οὐκ ἐπαρκέσοι· πρὶν δὲ λυθῆναι αὐτοῦ τὴν θυγατέρα, ἐν Ἄργει ἔφη γηράσειν μετὰ οὗ· ἀπιέναι δ' ἐκέλευεν καὶ μὴ ἐρεθίζειν, ἵνα σῶς οἴκαδε ἔλθοι. ὁ δὲ πρεσβύτης ἀκούσας ἔδεισέν τε καὶ ἀπῄει σιγῇ, ἀποχωρήσας δὲ ἐκ τοῦ στρατοπέδου πολλὰ τῷ Ἀπόλλωνι ηὔχετο, τάς τε ἐπωνυμίας τοῦ θεοῦ ἀνακαλῶν καὶ ὑπομιμνήσκων καὶ ἀπαιτῶν, εἴ τι πώποτε ἢ ἐν ναῶν οἰκοδομήσεσιν ἢ ἐν ἱερῶν θυσίαις κεχαρισμένον δωρήσαιτο· ὧν δὴ χάριν κατηύχετο τεῖσαι τοὺς Ἀχαιοὺς τὰ ἃ δάκρυα τοῖς ἐκείνου βέλεσιν. οὕτως, ἦν δ' ἐγώ, ὦ ἑταῖρε, ἄνευ μιμήσεως ἁπλῆ διήγησις γίγνεται. [Α.] Μανθάνω, ἔφη.

Az epikus nyelvhasználat néhány jellegzetes sajátossága Homérosnál az attikai nyelvjáráshoz képest

(Az alanti, a feldolgozást segítő megjegyzések nem feltétlenül nyelvtörténeti magyarázatok.)

1. Apokopé, a szó rövid véghangzójának elhagyása mássalhangzóval kezdődő szó előtt. Különösen praepositiók és praeverbiumok esetében.
2. A krasis Homérosnál ritka. Előfordul a névelő, vonatkozó névmás, valamint καί és az ezt követő magánhangzóval kezdődő szó között.
3. A tövek hangzóinak kiegészítéseképpen elsősorban metrikai okokból a magánhangzók közül hol megelőző, hol követő betoldásként leggyakrabban ε, illetve α, ο, ι, η, ω magánhangzók jelennek meg. Ezek a szétvont alakok. Az εια és ειος végű főnevekben, illetve melléknevekben az ε gyakran η-vá nyúlik. Számos εω-végű ige imperfecta actiójában az ε ει-be nyúlik meg.
4. ο helyett nyújtott ου áll kölönösen λ, ν, ρ, valamint σ előtt.
5. Mellékalakokban előfordul, hogy a kettős mássalhangzó közül az egyik kiesik.
6. A szó belsejében, rövid hangzó után, bizonyos mássalhangzók, főleg a folyékonyak és a σ, π, τ megkettőződnek.
7. Az attikaiban álló kettős ττ helyett gyakran áll σσ.
8. Az α tövű főnévragozásban a pl. dat. -αις helyett rendre -ᾳσι áll, illetve a pl. gen. -ων helyett -εων / -αων.
9. Az alpha tövű főnévragozásban előfordulnak a vocativusszal alakilag megegyező nominativusok (aiolismus).
10. Az alpha purum helyett gyakorta η áll.
11. Az attikaiban néhány névszónak -ηος, -αος végződéséből metathesis quantitatis útján -εως lett (attikai névszóragozás).
12. Az omikron tövű névszóragozásban a pl. dat.-ban -οις helyett -οισι áll.
13. Az alpha tövű declinatióban a sg. gen. végződése az összevonás előtti -αο, valamint összevonva ω, vagy metathesisszel εω. Utóbbinál mindig synizésis lép fel. Az omikron tövűek sg. gen.-a -οιο is lehet.
14. Az α és ο tövű névszóragozás attikaiban összevont alakjai összevonás nélkül képeztetnek. Ahol van összevonás, ott az ismert szabályok érvényesülnek, kivéve, hogy εο-ból és εου-ból általában ευ lesz.
15. Az ún. hangvesztő főnevek (θυγάτηρ, stb.) ε-ja mindenütt meg-, vagy elmaradhat.
16. A ναῦς, illetve a πόλις ragozása metathesis, illetve a tővégi i kiesése előtti állapotot mutat.
17. Az ευ-végű tövek ε-ja helyett metathesis előtti, eredeti η áll, a tulajdonneveknél ε-os mellékalakok is előfordulnak.
18. Az -ες, és -υ tövű fő- és melléknevek összevonás előtti állapotot mutatnak.
19. A mássalhanzós főnévragozásban pl. dat.-ban a σι mellett εσσι(ν) végződés is előfordul.
20. A praepositiók eredeti határozói jelentése abban is jelentkezik, hogy a vonzatukban álló névszóktól és a hozzájuk tartozó igéktől közbetoldott szavak által gyakran el vannak választva. Ez a jelenség a tmésis.

21. Az attikaiban határozott névelő (a régi grammatikus hagyomány szerint a szövegben hangsúlyt kaphat) Homérosnál hol mutatónévmási (ideértendő a személyes névmás harmadik személye is), hol vonatkozónévmási jelentésben használatos.
22. A pronomen relativum alakjaiban sg. és pl. nom. kivételével az attikaitól eltérően a függő esetekben kezdő τ jelenhet meg.
23. A coniunctivus sg. 1. személyben a személyrag gyakran -μι, a sg. 2. személyben -σθα, a sg. 3. személyben -σι.
24. A pl. 3. sekunder személyrag -σαν helyett gyakran áll *-nt >-ν megelőző rövid hangzóval, tehát *-ēnt, -ānt >-εν, -αν lehet.
25. A medio-passivum személyragjai a sg. 2. személyben az intervokális s kiesése után a kötőhangzóval gyakran összevonatlanok maradnak.
26. A medio-passivum pl.1. személyragja -μεθα helyett a versmérték miatt -μεσθα is lehet.
27. A perf. pl. 3. passivi alakjai attikai képzésével ellentétben a mássalhangzók közötti sonans n̥ α-vá alakulhat ται és το végződések előtt minden ige passzív pr. és praet. pf. pl. 3. személyeiben. Ugyanez a jelenség figyelhető meg a mediális optativus pl. 3. személyű alakjaiban.
28. A coniunctivus képzése során a kötőhangzó gyakran nem nyúlik meg.
29. Az augmentum temporale és syllabicum különféle okok miatt gyakran elmarad.
30. Az augmentum syllabicum után nemcsak a kezdő ρ, hanem egyéb mássalhangzók is megkettőződnek.
31. Gyakorító értelmet ad az igéknek a -σκ- képző, amely a rendes kötőhangzókkal járul a tőhöz, ebben az esetben az augmentum mindig elmarad.
32. A participiumok és a valódi magánhangzón végződő tövek az imperfecta actióban, valamint a futurumi alakok szinte kivétel nélkül mellőzik az attikaiban egyébként jellemző magánhangzó-összevonásokat. Hasonló jelenséget figyelhetünk meg a létige bizonyos alakjaiban.
33. Az aktív infinitivus képzője -εν, -ναι mellett gyakran -(έ)μεν, -(έ)μεναι.
34. A folyékonyhangú igetövek esetében előfordul, hogy a σ képző megjelenik.
35. A gyenge aoristos gyakran az erős aoristos kötőhangjait (ε, ο) kapja (aoristus mixtus).
36. Az aktív, a mediális, valamint a passzív aoristost Homéros gyakran reduplikált tőből képezi, s a reduplikált alak augmentumot is kaphat.
37. Egyes magánhangzós tövekben a σ képző a futurumban elmarad.
38. Az indicativus futuruma, valamint a hozzá jelentésben közel álló coniunctivus gyakran áll ἄν-nal, κέν-nel, vagy anélkül eventualitást, azaz egyfajta valószínűséget kifejezve.

Jegyzetek

A jegyzet összeállítása során követett szempontok:
1. A kiemelt homérosi alaktól kötőjellel elválasztva, álló betűvel szedtük az olyan alakot, amely a számmal jelölt epikus sajátosság elhagyása után az attikai prózában a megadott formában előfordul. Ha az Ílias szövegéből kiemelt alak nem jellemző az attikai prózára, akkor az ep. (epikus alak) rövidítés előzi meg a kötőjelet. Az epikus nyelvhasználat sajátos, számmal jelölt jellegzetességei alapján néhol ezeket az alakokat is átírtuk, hogy alkalmat teremtsünk a homérosi alaktan további gyakorlására. Előfordul azonban, hogy a fordítás megkönnyítésére ilyen esetekben csupán az értelmileg megfelelő attikai alakot tüntettük fel, vagyis az általunk megadott attikai alak a számmal jelölt epikus sajátosságok alapján nem magyarázható.
2. Ha a kiemelt alak/ok után vesszővel elválasztva csupán egy szám áll, akkor valamely jellegzetes mondattani jelenségre hívjuk fel a figyelmet.
3. Dőlt betűvel, a scholiasta pontos feltüntetése nélkül szerepelnek azok a görög nyelvű magyarázatok, amelyeket a Homéros-scholionokból emeltünk át egyes epikus alakok vagy gondolatok megvilágítására. Az összes epikus alak ilyen jellegű átírására újkori scholion-szerzőkként nem vállalkoztunk, így értelemszerűen csak az ókori hagyományban értelmezett verseket írhattuk körül. A scholionok magyarázataival természetesen nem minden esetben értünk egyet, de megítélésünk szerint a gördülékeny attikai prózában írt értelmezések sok tanulsággal szolgálnak. A dőlt betűvel szedett magyarázatok után szereplő rövidítések antik lexikonokra utalnak: Hes. (Hesychios), S. (Suda).

Minta egy vers jegyzetére:

‖	A verseket elkülönítő kettős függőleges vonal
50	A magyarázott sorra vonatkozó versszám
οὐρῆας	kiemelt homérosi alak
ep.	Lásd a fönti 1. pontot
οὐρέας	átírt „attikai” alak
17.	az epikus nyelv sajátosságaira (155. o.) utaló szám/ok
οὐρῆες λέγονται	vesszővel elkülönítve a scholionok vonatkozó magyarázatai
|	soron belül az egyes magyarázott alakokat | (függőleges vonal) különíti el
…	a scholionok szövegéből történő kihagyást jelzik

Ἰλιάδος ἄλφα Ὁμήρου ῥαψῳδίας·

ἄλφα· λιτὰς Χρύσου, λοιμὸν στρατοῦ,

ἔχθος ἀνάκτων

Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος
οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε,
πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν
οἰωνοῖσί τε πᾶσι, Διὸς δ' ἐτελείετο βουλή,
ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε
Ἀτρεΐδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς.

1 **Μῆνιν ἄειδε,** *ζητοῦσι, διὰ τί ἀπὸ τῆς μήνιδος οὕτω δυσφήμου ὀνόματος ἤρξατο . . . ἵνα . . . προσεκτικωτέρους τοὺς ἀκροατὰς ἐπὶ τοῦ μεγέθους ποιήσῃ καὶ προεθίσῃ φέρειν γενναίως ἡμᾶς τὰ πάθη, μέλλων πολέμους ἀπαγγέλλειν. . . . καὶ γὰρ προσεκτικοὺς ἡμᾶς ἡ τῶν ἀτυχημάτων διήγησις ἐργάζεται, καὶ ὡς ἄριστος ἰατρὸς πρῶτον ἀναστέλλων τὰ νοσήματα τῆς ψυχῆς ὕστερον τὴν ἴασιν ἐπάγει. Ἑλληνικὸν δὲ τὸ πρὸς τέλει τὰς ἡδονὰς ἐπάγειν . . . ζητεῖται, διὰ τί Ἀχιλλέως ὡς ἐπὶ τὸ πλεῖστον ἀριστεύοντος οὐκ Ἀχίλλειαν ὡς Ὀδύσσειαν ἐπέγραψε τὸ σωμάτιον. φαμὲν δ' ὅτι ἐκεῖ μέν, ἅτε μόνως ἐφ' ἑνὸς ἥρωος τοῦ λόγου πλακέντος, καλῶς καὶ τοὔνομα τέθειται, ἐνταῦθα δέ, εἰ καὶ μᾶλλον τῶν ἄλλων Ἀχιλλεὺς ἠρίστευεν, ἀλλά γε καὶ οἱ λοιποὶ ἀριστεύοντες φαίνονται· οὐ γὰρ μόνον τοῦτον οἷος ἦν δηλῶσαι βούλεται, ἀλλὰ σχεδὸν ἅπαντας, ὅπου γε καὶ ἐξισοῖ τινας αὐτῷ. ἔκ τινος οὖν ὀνομάσαι μὴ ἔχων αὐτό, ἀπὸ τῆς πόλεως ὀνομάζει καὶ τὸ αὐτοῦ καλῶς ὑποφαίνει ὄνομα.* | **μῆνις**, *ὀργή, θυμός, χόλος, κότος . . . ὁ ποιητὴς ὡς συνωνύμοις ὀνόμασιν ἐπὶ Ἀχιλλέως χρῆται.* | **ἄειδε** ep.-ᾄδε 3., *ᾄδειν ποίει . . . ἔθος τοῦτο ποιητικόν, ὁ πάντες μικροῦ δεῖ ἐφυλάξαντο, καλεῖν τὰς Μούσας ἤτοι τὸ θεῖον ὡς ἐπικουρῆσον αὐτοῖς. καὶ ἐν Ὀδυσσείᾳ γάρ φησιν «ἄνδρα μοι ἔννεπε Μοῦσα».* | **Πηληϊάδεω** ep.-Πηλείδου 13. | **Ἀχιλῆος**-Ἀχιλλέως 5./17., *διὰ τὸ μέτρον ἓν λ γράφει· καὶ γὰρ τὸ Κάμανδρος ἀντὶ τοῦ Σκάμανδρος γράφεσθαι.* ‖ 2 **οὐλομένην** ep.-ὀλομένην 4., *ὀλέσασαν ἢ τὴν ὀλεθρίαν.* | **ἄλγεα**-ἄλγη 18. ‖ 3 **ἰφθίμους ψυχάς,** *κίνησιν οὐ τὴν τυχοῦσαν ἔχει τὸ προοίμιον, εἰ μέλλει διηγεῖσθαι θανάτους πολλῶν ἰφθίμων ἡρώων. Ἀπολλώνιος ὁ Ῥόδιος γράφει «κεφαλάς».* | **Ἄϊδι** ep.-Ἀιδη, *οὖν ἔβλαψε πρὸ τοῦ ὅρου παραπέμψασα Ἄιδη, τουτέστι πρὸ τοῦ πρέποντος ἀνθρώποις θανάτου.* ‖ 4 **αὐτούς**, *ἤτοι περὶ τοῦ σώματος.* | **ἑλώρια,** *δασύνεται . . . παρὰ τὸ ἕλω ἕλωρ ἐγίνετο, ὡς παρὰ τὸ πέλω πέλωρ . . . δυσμενεῖς φασι τοὺς ἀκροωμένους ἀπεργάζεται, τοὺς Ἕλληνας βλασφημεῖσθαι ποιῶν ὅτι τὰ σώματα οὐκ ἐκήδευσαν ἀνελόμενοι. ἀλλ' οὐδὲ δι' ἀμέλειαν περιεῖδον ἀτάφους, ἀλλὰ καιρὸν τοῦ κηδεύειν οὐκ ἔχοντες. τεκμήριον δέ· ἐν μὲν τῇ πρώτῃ μάχῃ, ἐν ᾗ Τρώων ἐκράτουν, θάπτουσι τοὺς πεσόντας, τῇ δὲ μετ' αὐτὴν ἡττώμενοι, διὰ τὴν Διὸς βούλησιν, ἐπαυλιζομένων ταῖς ναυσὶ τῶν βαρβάρων, οὐκέτι περὶ τοῦ θάψαι τοὺς τεθνεῶτας, ἀλλὰ περὶ τῆς σφῶν αὐτῶν σωτηρίας φροντίζουσιν.* | **τεῦχε**-ἔτευχε 29. | **κύνεσσιν**-κυσίν 19. ‖ 5 **οἰωνοῖσι**-οἰωνοῖς 12. | **ἐτελείετο**-ἐτελεῖτο 3./32. | **Διὸς δ' ἐτελείετο βουλή, / ἐξ οὗ δὴ τὰ πρῶτα,** *Ἀρίσταρχος συνάπτει, ἵνα μὴ προοῦσά τις φαίνηται βουλὴ καθ' Ἑλλήνων, ἀλλ' ἀφ' οὗ χρόνου ἐγένετο ἡ μῆνις, ἵνα μὴ τὰ παρὰ τοῖς νεωτέροις πλάσματα δεξώμεθα.* ‖ 6 **διαστήτην**-διεστήτην 29., *διέστησαν, ἡ δὲ τῶν δυϊκῶν κατάχρησις Ἀττική.* ‖ 7 **δῖος**, *ὁ ἔνδοξος ἀπὸ τῆς Διὸς ὑπεροχῆς.* ‖

Τίς τ' ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι;
Λητοῦς καὶ Διὸς υἱός· ὃ γὰρ βασιλῆϊ χολωθεὶς
νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν, ὀλέκοντο δὲ λαοί,
οὕνεκα τὸν Χρύσην ἠτίμασεν ἀρητῆρα
Ἀτρεΐδης· ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
λυσόμενός τε θύγατρα φέρων τ' ἀπερείσι' ἄποινα,
στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος
χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ λίσσετο πάντας Ἀχαιούς,
Ἀτρεΐδα δὲ μάλιστα δύω, κοσμήτορε λαῶν·
Ἀτρεΐδαι τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί,
ὑμῖν μὲν θεοὶ δοῖεν Ὀλύμπια δώματ' ἔχοντες
ἐκπέρσαι Πριάμοιο πόλιν, εὖ δ' οἴκαδ' ἱκέσθαι·
παῖδα δ' ἐμοὶ λύσαιτε φίλην, τὰ δ' ἄποινα δέχεσθαι,
ἁζόμενοι Διὸς υἱὸν ἑκηβόλον Ἀπόλλωνα.
Ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ
αἰδεῖσθαί θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα·

8 **ἄρ**-ἄρα 1., *ἐπὶ τὸ διηγηματικὸν μετιὼν οὐχ ὑποβάλλει τὰς διηγήσεις αὐτομάτους, ἵνα μὴ δοκῇ τοῖς ἀκούουσι προσκορὴς εἶναι, ἀλλὰ διὰ πεύσεως καὶ ἀποκρίσεως τὴν πραγματείαν πεποίηται, τὸν τῶν ἀκροατῶν νοῦν ἀναρτῶν καὶ ὑφῶν αὐτοὺς πρότερον τῇ πεύσει, εἶτα τὴν ἀπόκρισιν ἐπάγων. ἐν δὲ τῇ εἰσβολῇ τὸν λόγον ἀναρτήσας φιλοτέχνως διηγεῖται τὴν μῆνιν. τοιοῦτος δέ ἐστι, κεφαλαιώδεις τινὰς ἐκδιδοὺς περιοχὰς καὶ ἐξ ἀναστροφῆς κατὰ μέρος διηγούμενος.* | **σφωέ** ep.-αὐτώ, *σημαίνει τὸ αὐτούς.* | *τὸ δὲ «***ἔριδι***» ἀντὶ τοῦ μετὰ ἔριδος, ὡς μεθ' ὅπλων.* | **ξυνέηκε**-ξυνῆκε 3. ‖ 9 **ὅ**-οὗτος 21. | **βασιλῆι**-βασιλεῖ 17. ‖ 10 **νοῦσον**-νόσον 4. | **ὀλέκοντο** ep.-ὠλέκοντο 29. | **λαοί**-λεώ 11., *καίτοι τοῦ λαός περιλημματικοῦ ὄντος πρὸς πλείονα ἔμφασιν τῷ πληθυντικῷ ἐχρήσατο.* ‖ 11 **ἠτίμασεν**, *κατὰ συλλογισμὸν δὲ ἡ διήγησις· εἰ γὰρ θεοφιλεῖ τις ἀνδρὶ προσκρούων τοιαῦτα πάσχει, πόσῳ μᾶλλον εἰ θεῷ; καὶ εἰ βασιλεὺς οὕτω κολάζεται, τί ἄρα πείσεται ἰδιώτης;* | **ἀρητῆρα**, *ἱερέα* Hes. ‖ 12 **ὅ**-οὗτος 21. | **νῆας**-ναῦς 16. ‖ 13 **θύγατρα**-θυγατέρα 15. | **ἀπερείσι' ἄποινα,** *ἄπειρα δῶρα.* S., *ταῦτα καὶ ἐσθὴς καὶ χαλκὸς ἦν, δι' οἰκετῶν προσῆγε.* ‖ 14 **στέμματ' ἔχων,** *ἵνα, εἰ μὲν θεοσεβής, τὰ στέμματα αἰδεσθῇ, εἰ δὲ φιλοχρήματος, τὰ δῶρα δέξηται.* | **ἑκηβόλου**, *τοῦ ἑκαθεν ἐπιτυγχάνοντος· πλεῖστοι ἑκαθεν βάλλουσιν, ἀλλ' οὐ τυγχάνουσι τοῦ σκοποῦ.* ‖ 15 **χρυσέῳ**-χρυσῷ 14. | **λίσσετο**-ἐλίσσετο 29. ‖ 16 **λαῶν**-λεῶν 11. ‖ 17 **ἐυκνήμιδες,** *ἢ εὔοπλοι ἀπὸ μέρους τῶν ὅπλων ἤγουν τῶν κνημίδων.* ‖ 18 **θεοὶ δοῖεν,** *θεραπευτικὴ ἡ τοιαύτη ἔντευξις, τὸ ὑπερεύχεσθαι χειρώσασθαι τοὺς ἐχθροὺς καὶ τὸ εὐθεῖαν καὶ εὐάγωγον δοθῆναι ὁδόν. οἰκεία δέ ἐστιν ἡ ἱκετεία τῷ ἱερεῖ. ἅπασαν οὖν αὐτῶν ἐπιθυμίαν πληρωθῆναι ἐπεύχεται, τὴν παῖδα πρὸ ὀφθαλμῶν βλέπων αἰχμάλωτον. καλῶς δὲ οὐκ ἀπὸ τῶν λύτρων ἤρξατο, ἵνα μὴ μᾶλλον αὐτοὺς ἀπηνεστέρους ποιήσῃ. ἡ ἀνάγκη δὲ αὐτὸν ποιεῖ καὶ τοῖς οἰκείοις ἐπαρᾶσθαι. ἢ εἰκότως τοὺς Τρῶας ἐπαρᾶται, ἐπειδὴ οὗτοι καὶ αὐτῷ καὶ πᾶσι τοῖς ἀστυγείτοσιν αἴτιοι κακῶν γεγόνασιν. ἰστέον δὲ ὡς εἰς Θήβας ἥκουσα ἡ Χρυσηὶς πρὸς Ἰφινόην τὴν Ἠετίωνος μὲν ἀδελφήν, Ἄκτορος δὲ θυγατέρα, θύουσαν Ἀρτέμιδι, ἥλω ὑπὸ Ἀχιλλέως.* | **'Ολύμπια δώματ' ἔχοντες,** *οὐκ ἐν οὐρανῷ μόνον, καὶ ἐπὶ γῆς τοὺς θεούς φησιν οἰκεῖν, ἵνα μὴ καταφρονῶσιν αὐτῶν ὡς μακρὰν ὄντων.* ‖ 19 **Πριάμοιο**-Πριάμου 13. | **ἱκέσθαι,** *μέσος ἀόριστος δεύτερος.* ‖ 20 **φίλην,** *ἐλεεινὴ δὲ ἡ προσθήκη τοῦ «φίλην»· δηλοῖ γὰρ τὴν μόνην.* ‖ 22 **ἐπευφήμησαν 'Αχαιοί** , *δεισίδαιμον γὰρ τὸ πλῆθος καὶ μισοπόνηρον.* ‖ 23 **ἱερῆα**-ἱερέα 17. | **δέχθαι** ep.-δέξασθαι, *ὡς τιμῶντες μὲν οὗτοι ἱερέα λέγοντες ὡς χρὴ τὸν ἱκέτην μετ' αἰδοῦς δέχεσθαι.* ‖

ἀλλ' οὐκ Ἀτρεΐδῃ Ἀγαμέμνονι ἤνδανε θυμῷ,
ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν·
μή σε γέρον κοίλῃσιν ἐγὼ παρὰ νηυσὶ κιχείω
ἢ νῦν δηθύνοντ' ἢ ὕστερον αὖτις ἰόντα,
μή νύ τοι οὐ χραίσμῃ σκῆπτρον καὶ στέμμα θεοῖο·
τὴν δ' ἐγὼ οὐ λύσω· πρίν μιν καὶ γῆρας ἔπεισιν
ἡμετέρῳ ἐνὶ οἴκῳ ἐν Ἄργεϊ τηλόθι πάτρης
ἰστὸν ἐποιχομένην καὶ ἐμὸν λέχος ἀντιάουσαν·
ἀλλ' ἴθι μή μ' ἐρέθιζε σαώτερος ὥς κε νέηαι.
Ὣς ἔφατ', ἔδδεισεν δ' ὁ γέρων καὶ ἐπείθετο μύθῳ·
βῆ δ' ἀκέων παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης·
πολλὰ δ' ἔπειτ' ἀπάνευθε κιὼν ἠρᾶθ' ὁ γεραιὸς
Ἀπόλλωνι ἄνακτι, τὸν ἠΰκομος τέκε Λητώ·
κλῦθί μευ ἀργυρότοξ', ὃς Χρύσην ἀμφιβέβηκας
Κίλλάν τε ζαθέην Τενέδοιό τε ἶφι ἀνάσσεις,
Σμινθεῦ εἴ ποτέ τοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα,
ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα
ταύρων ἠδ' αἰγῶν, τὸ δέ μοι κρήηνον ἐέλδωρ·

24 **Ἀτρείδη**, *Ζηνόδοτος γράφει· «ἀλλ' οὐκ Ἀτρείδεω Ἀγαμέμνονος». ὁ δὲ ποιητὴς δοτικὴν ἀντὶ γενικῆς παραλαμβάνει.* || 25 **κρατερόν** ep.-καρτερόν, *ἀντὶ τοῦ ἀπηνῆ.* | **ἐπὶ** … **ἔτελλεν** ep.-ἐπέτελλεν 20. || 26 **κοίλῃσιν**-κοίλαις 8. | **νηυσί**-ναυσί 16. | **κιχείω** ep.-κίχω 3., *καταλάβω.* S. || 27 **αὖτις** ep.-αὖθις. || 28 **τοί** ep.-σοί. | **θεοῖο**-θεοῦ 13. | **μή** … **οὐ χραίσμῃ,** *ἀναιρεῖ τὴν ἐλπίδα, καὶ ἔστι· μήποτε καὶ αὐτὸς ὁ θεὸς οὐκ ἀνεξόμενος τῆς σῆς ἀναιδείας περιόψεταί σε.* || 29 **τὴν**-τήνδε/αὐτήν 21. | **μίν** ep.-αὐτήν. | **γῆρας ἔπεισιν,** *οὐ τοῦτο δέ λέγει, ὅτι γηράσασαν αὐτὴν τότε ἀποδώσει, ἀλλ' ὅτι πρότερον γηράσει ἢ ἐκείνῳ ἀποδοθήσεται.* || 30 **ἐνί** ep.-ἐν. | **τηλόθι,** *καὶ τηλόσε· πόρρω, μακράν.* S. | **πάτρης**-πάτρας 10. || 31 **ἀντιάουσαν**-ἀντιῶσαν 32. | **λέχος**, *ἐφύβριστος δὲ ἡ παρὰ πολεμίοις μίξις. ὅτι δὲ ἐφ' ὕβρει φησὶν αὐτῇ χρῆσθαι, δηλοῖ διὰ τοῦ ἐκφωνῆσαι τὸ «ἰστὸν ἐποιχομένην» καὶ τούτῳ τῷ λόγῳ συμπεριλαβεῖν τὸ λέχος.* || 32 **σαώτερος**-σώτερος 14. | **κέ** ep.-ἄν 38. | **νέηαι**-νέῃ 25., *πορευθῇς, ἐπανέλθῃς.* S. || 33 **ἔφατο,** *ἔφη.* | **ἔδδεισεν** ep.-ἔδεισεν. | **ἐπείθετο,** *ἀντὶ τοῦ οὐκ ἀντέπρασσε … διδάσκει δὲ ὁ ποιήτης εἴκειν ταῖς ὑπερβολαῖς. οἰκείως δὲ τὸν ἠτιμασμένον καὶ φοβούμενον γέροντα καλεῖ καὶ οὐχ ἱερέα, πλέον οἰκτιζόμενος.* || 34 **βῆ**-ἔβη 29. | **ἀκέων παρὰ θῖνα,** *οὐκ οἰμώξας διὰ τὸν καιρὸν.* | **πολυφλοίσβοιο**-πολυφλοίσβου 13. | **θαλάσσης**-θαλάττης 7. || 35 **ἀπάνευθεν,** *μακρόθεν, ἄποθεν, προσωτέρω.* S. || 36 **τόν**-ὅν 21. | **τέκε**-ἔτεκε 29. || 37 **κλῦθι**-ἄκουσον. | **μεῦ**-ἐμοῦ 14. | **ἀργυρότοξε,** *διὰ τὴν χρείαν τῶν βελῶν τοῦτό φησιν, ἔοικε δὲ μηδὲν διαφέρεσθαι περὶ τὸν ἄργυρον καὶ τὸν χρυσόν.* | **ἀμφιβέβηκας,** *κατὰ μεταφορὰν ἐκ τῶν τετραπόδων, ὑπερμαχεῖς.* || 38 **ζαθέην**-ζαθέαν 10., *ἅγαν θείαν, θαυμαστήν* Hes., *Κίλλος ἡνίοχος Πέλοπος περὶ Λέσβον ἀποθανών. ἀθυμοῦντι δὲ αὐτῷ παρέστη, κελεύων Κιλλαίῳ Ἀπόλλωνι θύειν διὰ τὸν αἰφνίδιον θάνατον, καὶ νικήσειν· ὅθεν καὶ τῆς ὀνομασίας ἔτυχεν ἡ πόλις.* | **Τενέδοιο** –Τενέδου 13. | **ἶφι,** *ἐσχημάτισται οὕτως· ἴς ἰνός ἰνόφι, ὡς χαλκός χαλκοῦ «χαλκόφι», καὶ κατὰ συγκοπὴν τῆς «νο» συλλαβῆς ἶφι.* || 39 **Σμινθεῦ**, *ἐπίθετον Ἀπόλλωνος.* | **τοί** ep.-σοί. | **ἐπί** … **ἔρεψα**-ἐπέρεψα 20., *ἐστέφετο γὰρ κισσῷ.* | **νηόν**-νεών 11. || 40 **τοί** ep.-σοί. | **κατά** … **ἔκηα** ep.-κατέκαυσα 20. || 41 **ταύρων ἠδ' αἰγῶν,** *θυσίαις ταύρων καὶ αἰγῶν ἥδεται ὁ Ἀπόλλων· ὕλη γὰρ τοῖς τόξοις τὰ κέρατα αὐτῶν.* | **κρήηνον** ep.-κρῆνον 3. | **ἐέλδωρ**-ἔλδωρ 3. ||

τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσιν.
Ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων,
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων χωόμενος κῆρ,
τόξ' ὤμοισιν ἔχων ἀμφηρεφέα τε φαρέτρην·
ἔκλαγξαν δ' ἄρ' ὀϊστοὶ ἐπ' ὤμων χωομένοιο,
αὐτοῦ κινηθέντος· ὃ δ' ἤϊε νυκτὶ ἐοικώς.
ἕζετ' ἔπειτ' ἀπάνευθε νεῶν, μετὰ δ' ἰὸν ἕηκε·
δεινὴ δὲ κλαγγὴ γένετ' ἀργυρέοιο βιοῖο·
οὐρῆας μὲν πρῶτον ἐπῴχετο καὶ κύνας ἀργούς,
αὐτὰρ ἔπειτ' αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφιεὶς
βάλλ'· αἰεὶ δὲ πυραὶ νεκύων καίοντο θαμειαί.
Ἐννῆμαρ μὲν ἀνὰ στρατὸν ᾤχετο κῆλα θεοῖο,
τῇ δεκάτῃ δ' ἀγορήνδε καλέσσατο λαὸν Ἀχιλλεύς·
τῷ γὰρ ἐπὶ φρεσὶ θῆκε θεὰ λευκώλενος Ἥρη·
κήδετο γὰρ Δαναῶν, ὅτι ῥα θνήσκοντας ὁρᾶτο.
οἳ δ' ἐπεὶ οὖν ἤγερθεν ὁμηγερέες τε γένοντο,
τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·

42 **Δαναοί,** *Ἕλληνες οὕτως. Βῆλος ὠνόμασεν. ἱστορεῖ Ἀπολλόδωρος … πῶς Ἕλλησιν ἐπαρᾶται τοῖς ἐπευφημήσασι δοθῆναι αὐτῷ τὴν θυγατέρα καὶ μὴ μᾶλλον Ἀγαμέμνονι. φαμὲν οὖν ὅτι, εἰ ἀπέθανεν Ἀγαμέμνων, ἀνεκζήτητος ἂν ἔμεινεν ἡ αἰτία τοῦ λοιμοῦ. ἢ πλεόντων ἐπὶ τὴν πατρίδα τῶν Ἑλλήνων ἀναπόδοτος ἔμεινεν ἡ Χρυσηΐς· ἢ ὅτι αὐτοὶ Θήβας πορθήσαντες ἐξέδοντο αὐτὴν Ἀγαμέμνονι· καὶ ὅτι συμπεριλαμβάνεται καὶ αὐτὸς τοῖς Δαναοῖς· καὶ ὅτι ὡς βάρβαρος ὁ Χρύσης πᾶσιν Ἕλλησιν ἐχθρός ἐστιν.* | **σοῖσι**-σοῖς 12. | **βέλεσσιν**-βέλεσιν 19., *μικρῷ λόγῳ μεγάλα αἰτεῖ· ἀνταποδοῖεν τοῖς βέλεσί σου ταῦτα τὰ δάκρυα, ὅ ἐστι τοξεύων εἰσπράξαιο αὐτοὺς ἅπερ ἐγὼ ἐξέχεα δάκρυα.* ‖ 43 **ἔφατο,** *ἔφη.* | **τοῦ**-αὐτοῦ 21. ‖ 44 **βῆ**-ἔβη 29. | **Οὐλύμποιο**-Ὀλύμπου 4./13. | **καρήνων,** *ὅτι ὄρος ὁ Ὄλυμπος· τὰ γὰρ κάρηνα ἐπὶ ὄρους.* | **χωόμενος**-χώμενος 32. | **κῆρ,** *παρὰ τὴν καῦσιν. τὸ δὲ ἔμφυτον θερμόν εἶναι τὴν ψυχήν.* ‖ 45 **ὤμοισιν**-ὤμοις 12. | **ἀμφηρεφέα** ep.-ἀμφηρεφῆ 18., *ἀμφοτέρωθεν ὠροφωμένην, ἐκ τοῦ ἐρέφω.* | **φαρέτρην**-φαρέτραν 10. ‖ 46 **χωομένοιο**-χωμένου 13./32. ‖ 47 **ὅ**-αὐτός 21. | **ἤϊε** ep.-ἤει. | **νυκτὶ ἐοικώς,** *τὰ φοβερὰ νυκτὶ εἰκάζει.* ‖ 48 **μετά** … **ἕηκεν**-μεθῆκεν 3./20. | **ἰόν**, *τοὺς δὲ ὀϊστοὺς διὰ τὸ βλαπτικὸν ἰοὺς ἐκάλεσεν.* ‖ 49 **γένετο**-ἐγένετο 29. | **ἀργυρέοιο βιοῖο** ep.-ἀργυροῦ βιοῦ 13. ‖ 50 **οὐρῆας** ep.-οὐρέας 17., *οὐρῆες λέγονται διὰ τὸ ἄγονον, ὡς οὔρια ᾠὰ καλοῦμεν. εὐπαθῆ δὲ τὰ ζῷα ταῦτα καὶ εὐάλωτα ὑπὸ νόσων· σύμμικτος γὰρ οὖσα ἡ φύσις αὐτῶν καὶ ἐκ διαφερόντων τοῖς εἴδεσιν, οὐ μεγάλης εἰς τὸ φθείρεσθαι δεῖται ἀνάγκης, οὐδὲ ἀντέχει μέχρι πολλοῦ βλαπτομένη. οἱ δὲ κύνες καθαροῦ δέονται τοῦ ἀέρος ὀξυτέρᾳ τῇ ὀσφρήσει χρώμενοι.* | **ἀργούς,** *ἀκουστέον τοὺς λευκούς, ὅτι ἀσθενέστερά ἐστι ταῦτα τὰ σώματα τῶν ἐναντίως ἐχόντων, ἀραιότερα ὄντα καὶ εὐπαθέστερα.* ‖ 51 **αὐτοῖσι**-αὐτοῖς 12., *αὐτοῖς τοῖς Ἕλλησι.* | **ἐχεπευκές,** *ἔχον πικρίαν· ἀπὸ τῆς πεύκης ἐστὶ πικρόν.* ‖ 52 **βάλλε**-ἔβαλλε 29., *ἀντὶ τοῦ ἐφόνευεν.* | **αἰεί** ep.-ἀεί. | **καίοντο**-ἐκαίοντο 29. | **θαμειαί**, *πυκναί.* ‖ 53 **ἐννῆμαρ,** *ἐπὶ ἐννέα ἡμέρας.* | **κῆλα,** *νῦν τὰ βέλη· ὁτὲ δὲ καὶ σημεῖα.* | **θεοῖο**-θεοῦ 13. ‖ 54 **ἀγορήνδε** ep.-ἀγοράνδε 10. | **καλέσσατο**-ἐκαλέσατο 6./29. | **λαόν**-λεών 11. ‖ 55 **τῷ**-τούτῳ 21. | **ἐπί** … **θῆκε**-ἐπεθῆκε 20./29. | **λευκώλενος**, *λευκόπηχυς. ἀπὸ μέρους, ὅλη λευκὴ καὶ καλή. «ὠλέναι» γὰρ οἱ πήχεις.* Hes. | **Ἥρη**-Ἥρα 10. ‖ 56 **κήδετο**-ἐκήδετο 29. | **ῥά** ep.-ἄρα. | **ὁρᾶτο** ep.-ἑωρᾶτο 29., *Ζηνόδοτος «ὁρῆτο» γράφει. ἀγνοεῖ δὲ ὅτι Δωρικὸν γίνεται.* ‖ 57 **οἳ**-οὗτοι 21. | **ἤγερθεν**-ἠγέρθησαν 24. | **ὁμηγερέες** ep.-ὁμηγερεῖς 18. | **γένοντο**-ἐγένοντο 29. ‖ 58 **τοῖσι**-αὐτοῖς 12./21. ‖

Ἀτρεΐδη νῦν ἄμμε παλιμπλαγχθέντας ὀΐω
ἂψ ἀπονοστήσειν, εἴ κεν θάνατόν γε φύγοιμεν,
εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ καὶ λοιμὸς Ἀχαιούς·
ἀλλ' ἄγε δή τινα μάντιν ἐρείομεν ἢ ἱερῆα
ἢ καὶ ὀνειροπόλον, καὶ γάρ τ' ὄναρ ἐκ Διός ἐστιν,
ὅς κ' εἴποι ὅ τι τόσσον ἐχώσατο Φοῖβος Ἀπόλλων,
εἴ τ' ἄρ' ὅ γ' εὐχωλῆς ἐπιμέμφεται ἠδ' ἑκατόμβης,
αἴ κέν πως ἀρνῶν κνίσης αἰγῶν τε τελείων
βούλεται ἀντιάσας ἡμῖν ἀπὸ λοιγὸν ἀμῦναι.
Ἦτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη
Κάλχας Θεστορίδης οἰωνοπόλων ὄχ' ἄριστος,
ὃς ἤδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα,
καὶ νήεσσ' ἡγήσατ' Ἀχαιῶν Ἴλιον εἴσω
ἣν διὰ μαντοσύνην, τήν οἱ πόρε Φοῖβος Ἀπόλλων·
ὅ σφιν εὐφρονέων ἀγορήσατο καὶ μετέειπεν·
ὦ Ἀχιλεῦ κέλεαί με Διΐ φίλε μυθήσασθαι
μῆνιν Ἀπόλλωνος ἑκατηβελέταο ἄνακτος·
τοὶ γὰρ ἐγὼν ἐρέω· σὺ δὲ σύνθεο καί μοι ὄμοσσον
ἦ μέν μοι πρόφρων ἔπεσιν καὶ χερσὶν ἀρήξειν·
ἦ γὰρ ὀΐομαι ἄνδρα χολωσέμεν, ὃς μέγα πάντων
Ἀργείων κρατέει καί οἱ πείθονται Ἀχαιοί·

59 **ἄμμε** ep.-ἡμᾶς. | **παλιμπλαγχθέντας,** *ὑφ' ἓν Ἀρίσταρχος τὸ «παλιμπλαγχθέντας», τὸ πάλιν δὲ σημαίνει τὸ εἰς τοὐπίσω, ἤτοι μάτην ἀπράκτους ὑποστρέψαντας, μονονουχὶ πλάνην, οὐκ εἰσβολὴν ποιησαμένους.* || 60 **εἴ κεν** … **φύγοιμεν** ep.-εἰ … φύγοιμεν. || 61 **εἰ δή,** *ἀντὶ τοῦ καὶ γάρ.* | **δαμᾷ** ep.-δαμήσει 37. || 62 **ἐρείομεν** ep.-ἐρῶμεν 3./28. | **ἱερῆα**-ἱερέα 17., *ὁ δὲ Πορφύριος τρία ἀποδέχεται, μάντιν λέγων τὸν διὰ οἰωνῶν ἢ σημείων ἢ τεράτων μαντευόμενον, ἱερέα δὲ τὸν διὰ θυσιῶν, ὀνειροπόλον δὲ τὸν ὀνειροκρίτην.* || 64 **κ' εἴποι** ep.-ἄν εἴποι. || 65 **ὅ**-αὐτός 21. | **εὐχωλῆς,** *ὥσπερ παρὰ τὸ παύσω παυσωλή καὶ ἔλπω ἐλπωρή, οὕτω παρὰ τὸ εὔχω εὐχωλή.* | **ἑκατόμβης,** *ἀπὸ τοῦ ἑκατόν καὶ τοῦ βοῦς.* || 66 **αἴ κέν** ep.-ἐάν. || 67 **βούλεται**-βούληται 28. | **ἀπό** … **ἀμῦναι**-ἀπαμῦναι 20. || 68 **ὅ**-οὗτος 21. | **κατ'** … **ἕζετο**-ἐκαθέζετο 20./29. *ὅτι Ζηνόδοτος γράφει «ἐκαθέζετο» δὲ ἑλληνίζειν τὸν Ὅμηρον. ὥσπερ γὰρ οὐδὲ λέγει ἐκατέβαινεν, οὕτως οὐδὲ ἐκαθέζετο.* | **τοῖσι**-αὐτοῖς 12./21. || 69 **ὄχα,** *ἐξόχως. ἀπὸ τοῦ ἐξέχω, ἔξοχος, τὸ ἔξοχον, τὰ ἔξοχα, ἐπίρρημα ἔξοχα, ἀποβολῇ τῆς ἐξ προθέσεως ὄχα. ἀποβάλλεται γὰρ πολλάκις ἡ πρόθεσις· ὡς ἐπὶ τοῦ καταιγίς, αἰγίς.* || 70 **ἐόντα**-ὄντα 32. | **ἐσσόμενα**-ἐσόμενα 6. || 71 **νήεσσι**-ναυσί 16./19., *ἀντὶ τοῦ νεῶν, … Κάλχας ἡγήσατο τοῖς Ἕλλησι καὶ οὐχὶ Τήλεφος, ὥς τινες νεώτεροι, … τὸ εἴσω ἀντὶ τοῦ εἰς.* || 72 **ἣν** … **μαντοσύνην** ep.-μαντοσύνην αὐτοῦ. | **τήν**-ἥν 21. | **οἱ** ep.-αὐτῷ. | **πόρε** ep.-ἔπορε 29. || 73 **ὅ**-αὐτός 21. | **σφίν** ep.-αὐτοῖς. | **εὐφρονέων,** *πρὸς τὴν τοῦ βασιλέως ἀβελτερίαν.* | **μετέειπεν** ep.-μετεῖπεν 3. || 74 **Ἀχιλεῦ**-Ἀχιλλεῦ 5. | **κέλεαι**-κέλῃ 25., *καὶ τῷ βασιλεῖ ἀπολογεῖται ὡς ἀναγκαζόμενος ὑπὸ Ἀχιλλέως, καὶ τῷ πλήθει.* || 75 **ἑκατηβελέταο** ep.-ἑκατηβελέτου 13. || 76 **τοί** ep.-σοί. | **ἐρέω**-ἐρῶ 32. | **σύνθεο**-συνθοῦ 25. | **ὄμοσσον**-ὄμοσον 6., *οὐκ ἀπιστῶν τῷ Ἀχιλλεῖ προβάλλει τὸν ὅρκον, ἀλλ' ἵνα ἔχῃ πρόφασιν πρὸς τὸν βασιλέα· ὁ συνεὶς Ἀχιλλεὺς οὐκ ἀγανακτεῖ ἐξαιτούμενος, ἀλλ' ἑτοίμως ὄμνυσιν.* || 77 **ἦ μέν μοι,** *ἀντὶ τοῦ ἡμήν. ἔστι δὲ ἐπίρρημα ὁρκικόν.* || 78 **χολωσέμεν**-χολώσειν 33. || 79 **κρατέει**-κρατεῖ 32. | **οἱ** ep.-αὐτῷ. ||

κρείσσων γὰρ βασιλεὺς ὅτε χώσεται ἀνδρὶ χέρηϊ·
εἰ περ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ,
ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ,
ἐν στήθεσσιν ἑοῖσι· σὺ δὲ φράσαι εἴ με σαώσεις.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
θαρσήσας μάλα εἰπὲ θεοπρόπιον ὅ τι οἶσθα·
οὐ μὰ γὰρ Ἀπόλλωνα Διὶ φίλον, ᾧ τε σὺ Κάλχαν
εὐχόμενος Δαναοῖσι θεοπροπίας ἀναφαίνεις,
οὔ τις ἐμεῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο
σοὶ κοίλῃς παρὰ νηυσὶ βαρείας χεῖρας ἐποίσει
συμπάντων Δαναῶν, οὐδ' ἢν Ἀγαμέμνονα εἶπῃς,
ὃς νῦν πολλὸν ἄριστος Ἀχαιῶν εὔχεται εἶναι.
Καὶ τότε δὴ θάρσησε καὶ ηὔδαε μάντις ἀμύμων·
οὔτ' ἄρ' ὅ γ' εὐχωλῆς ἐπιμέμφεται οὐδ' ἑκατόμβης,
ἀλλ' ἕνεκ' ἀρητῆρος ὃν ἠτίμησ' Ἀγαμέμνων,
οὐδ' ἀπέλυσε θύγατρα καὶ οὐκ ἀπεδέξατ' ἄποινα,
τοὔνεκ' ἄρ' ἄλγε' ἔδωκεν ἑκηβόλος ἠδ' ἔτι δώσει·
οὐδ' ὅ γε πρὶν Δαναοῖσιν ἀεικέα λοιγὸν ἀπώσει
πρίν γ' ἀπὸ πατρὶ φίλῳ δόμεναι ἑλικώπιδα κούρην
ἀπριάτην ἀνάποινον, ἄγειν θ' ἱερὴν ἑκατόμβην
ἐς Χρύσην· τότε κέν μιν ἱλασσάμενοι πεπίθοιμεν.
Ἦτοι ὅ γ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο· τοῖσι δ' ἀνέστη
ἥρως Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
ἀχνύμενος· μένεος δὲ μέγα φρένες ἀμφιμέλαιναι
πίμπλαντ', ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην·

80 **κρείσσων**-κρειττων 7. | **χώσεται**-χώσηται 28. | **χέρηϊ,** *χείρονι, ἥττονι, ἢ ἥσσονι.* Hes. || 82 **ὄφρα,** *ὅπως, ἢ μέχρι, ἢ ἕως, ἢ ἵνα.* S. | **τελέσσῃ**-τελέσῃ 6., *πιθανῶς τὴν εἰς τὸ μετέπειτα σωτηρίαν αἰτεῖ· εἰκὸς γὰρ ἦν τὸ μὲν παρόν, αἰδεσθέντα τὸ πλῆθος, παριδεῖν αὐτόν, εἰς δὲ τὸ μετέπειτα τιμωρήσασθαι.* || 83 **στήθεσσιν ἑοῖσι** ep.-στήθεσι αὐτοῦ 12./19. | **σαώσεις** ep.-σώσεις. || 84 **τόν**-αὐτόν 21. || 85 **θαρσήσας** ep.-θαρρήσας. | **εἰπέ**, *τρία εἰσὶ τὰ ἐν τῇ κοινῇ ἐλθέ, εὑρέ, εἰπέ. Ἀττικοὶ δὲ καὶ . . . ὀξύνουσι τὸ ἰδέ καὶ λαβέ.* | **θεοπρόπιον,** *τὸ ἐκ θεοῦ μάντευμα, ἢ προφήτευμα.* S. || 87 **Δαναοῖσι**-Δαναοῖς 12. || 88 **ἐμεῦ**-ἐμοῦ 14. | **δερκομένοιο** ep.-δερκομένου 13., *δέρκειν· βλέπειν.* S. || 89 **κοίλῃς**-κοίλαις 8. | **νηυσί**-ναυσί 16. | **βαρείας,** *τὰς ὅπλῳ βεβαρημένας.* || 91 **πολλόν** ep.-πολύ. || 92 **θάρσησε** ep.-ἐθάρρησε 29. | **ηὔδαε**-ηὔδα 32. | **ἀμύμων,** *ἄφογος, ἄμεμπτος.* S. || 93 **ὅ**-αὐτός 21. || 95 **θύγατρα**-θυγατέρα 15. || 96 **τοὔνεκα**-τούτου ἕνεκα 21. | **ἄλγεα**-ἄλγη 18. || 97 **ὅ**-αὐτός 21. | **Δαναοῖσιν**-Δαναοῖς 12. | **ἀεικέα**-ἀεικῆ 18., *ὄλεθρον ἀπεοικότα . . . τοῦτο δέ ἐστιν ἀπεχθῆ.* || 98 **ἀπό** . . . **δόμεναι**-ἀποδοῦναι 20./33. | **ἑλικώπιδα,** *τὴν μελανόφθαλμον, ὡς Καλλίμαχος.* | **κούρην**-κόρην 4. || 99 **ἀπριάτην,** *ἄνευ πράσεως* Hes. | **ἱερήν**-ἱεράν 10. || 100 **ἐς** ep.-εἰς. | **κέν** ep.-ἄν. | **μίν** ep.-αὐτόν. | **ἱλασσάμενοι**-ἱλασάμενοι 6. | **πεπίθοιμεν** ep.-πείσαιμεν 36., *εἴωθε δὲ τοὺς δευτέρους ἀορίστους ἀναδιπλασιάζειν.* || 101 **ὅ**-οὗτος 21. | **κατά** . . . **ἕζετο**-ἐκαθέζετο 20./29. | **τοῖσι**-αὐτοῖς 12./21. || 103 **μένεος**-μένους 18. || 104 **πίμπλαντο**-ἐπίμπλαντο 29., *ἡ ἀμφὶ πρὸς τὸ πίμπλαντο, ἀπὸ τῆς τῶν ὑδάτων μεταφορᾶς, ὡς γὰρ ἐκ κεράμου ὑπερεξεχεῖτο ὁ θυμός.* | **ὄσσε,** *παρὰ τὸ ὄπτω ὄσσω, . . . ἐκ δὲ τοῦ ὄσσω γίνεται ὄνομα ὄσσος, τὸ δυϊκὸν ὄσσω.* | **οἱ** ep.-αὐτῷ. | **λαμπετάοντι**-λαμπετῶντι 32. ||

Κάλχαντα πρώτιστα κάκ' ὀσσόμενος προσέειπεν·
μάντι κακῶν οὐ πώ ποτέ μοι τὸ κρήγυον εἶπας·
αἰεί τοι τὰ κάκ' ἐστὶ φίλα φρεσὶ μαντεύεσθαι,
ἐσθλὸν δ' οὔτέ τί πω εἶπας ἔπος οὔτε τέλεσσας·
καὶ νῦν ἐν Δαναοῖσι θεοπροπέων ἀγορεύεις
ὡς δὴ τοῦδ' ἕνεκά σφιν ἑκηβόλος ἄλγεα τεύχει,
οὕνεκ' ἐγὼ κούρης Χρυσηΐδος ἀγλά' ἄποινα
οὐκ ἔθελον δέξασθαι, ἐπεὶ πολὺ βούλομαι αὐτὴν
οἴκοι ἔχειν· καὶ γάρ ῥα Κλυταιμνήστρης προβέβουλα
κουριδίης ἀλόχου, ἐπεὶ οὔ ἑθέν ἐστι χερείων,
οὐ δέμας οὐδὲ φυήν, οὔτ' ἄρ φρένας οὔτέ τι ἔργα.
ἀλλὰ καὶ ὥς ἐθέλω δόμεναι πάλιν εἰ τό γ' ἄμεινον·
βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι·
αὐτὰρ ἐμοὶ γέρας αὐτίχ' ἑτοιμάσατ' ὄφρα μὴ οἶος
Ἀργείων ἀγέραστος ἔω, ἐπεὶ οὐδὲ ἔοικε·
λεύσσετε γὰρ τό γε πάντες ὅ μοι γέρας ἔρχεται ἄλλῃ.
Τὸν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
Ἀτρεΐδη κύδιστε φιλοκτεανώτατε πάντων,
πῶς γάρ τοι δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί;
οὐδέ τί που ἴδμεν ξυνήϊα κείμενα πολλά·

105 **κάκ' ὀσσόμενος,** *παρατηρητέον ὅτι, ὅταν ἐκ τινὸς ἐπάγειν λόγους μέλλῃ τινὰς ὁ ποιητής, προσημαίνει οἷος ἔσται ὁ λόγος· οἷον εἰπόντος «τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη» (148).* | **προσέειπεν** ep.-προσεῖπεν 3. ‖ 106 **μάντι κακῶν,** *εἰ γὰρ καὶ ἀληθεῖς αἱ τῶν φαύλων προγνώσεις, οὐδὲν ἧττον οἱ δυστυχοῦντες τοὺς προειρηκότας μισοῦσιν ὡς αἰτίους.* | **τό**-(τοιοῦτο), ὅ 21. | **κρήγυον**, *ἀληθές, ἀγαθόν, καλογήρυον. γῆρυς γὰρ ἡ φωνή.* S., *ἅπαξ εἴρηται τὸ «κρήγυον», καὶ οὐκ ἔστιν ἀληθές, ἀλλ' ἀγαθόν· ἀντιδιαστέλλει γοῦν ἐπὶ τὸ «αἰεί τοι τὰ κάκ' ἐστὶ φίλα» (107).* ‖ 107 **αἰεί** ep.-ἀεί. | **τοί** ep.-σοί. | **τά**-ταῦτα ἅ 21. ‖ 108 **τέλεσσας**-ἐτέλεσας 6./29., *καὶ ἔστιν ἐμφατικὸν τὸ «οὔτε» δὶς λεγόμενον.* **...** *Κάλχας ὁ μάντις ἐξεφώνησε μὴ δύνασθαι εἰς Ἴλιον ἄλλως ἐκπλεῦσαι αὐτούς, εἰ μὴ Ἀγαμέμνων Ἰφιγένειαν τὴν θυγατέρα αὐτοῦ σφαγιάσῃ Ἀρτέμιδι, διὰ τὸ φονεῦσαι αὐτὸν τὴν ἱερὰν αἶγα.* ‖ 109 **Δαναοῖσι**-Δαναοῖς 12. | **θεοπροπέων** ep.-θεοπροπῶν 32. ‖ 110 **σφίν** ep.-αὐτοῖς. | **ἄλγεα**-ἄλγη 18. ‖ 111 **κούρης**-κόρης 4. ‖ 113 **ῥά** ep.-ἄρα. | **Κλυταιμνήστρης**-*Κλυταιμνήστρας* 10., *ἐξαίρει τὸν πόθον, ὅπως μεγίστην δοκῇ κατατίθεσθαι τοῖς Ἀχαιοῖς χάριν (δημαγωγικώτατος γάρ ἐστιν). ἢ ὅτι περισπούδαστος τοῖς ἐπ' ἀλλοδαπῆς ὁ τῶν γυναικῶν πόθος· ἀπάγων δὲ τοὺς Ἕλληνας τοῦ τοιούτου πόθου ἐπαινεῖ τὴν αἰχμάλωτον.* ‖ 114 **κουριδίης** ep.-κουριδίας 10., *ἐκ παρθενίας γαμετῆς.* Hes. | **ἑθέν** ep.-αὐτῆς. | **χερείων** ep.-χείρων. ‖ 115 **ἄρ**-ἄρα 1. | **οὐ δέμας,** *δέμας ὁ ποιητὴς – σῶμα αἰσχύνομαι ... μονοστίχῳ πᾶσαν ἀρετὴν γυναικὸς περιέλαβεν. καὶ ἀλλαχοῦ ...* ‖ 116 **δόμεναι**-δοῦναι 33. | **τό**-τοῦτο 21. ‖ 117 **λαόν**-λεών 11. | **σόον** ep.-σῶν. | **ἔμμεναι**-εἶναι 33., *ὁ δὲ λόγος τοιοῦτος· θέλω, φησίν, ἐγὼ τὸν ὄχλον μᾶλλον σώζεσθαι καὶ αὐτὸς ἀπολέσθαι.* ‖ 118 **ὄφρα**, *ἵνα.* | **οἷος**, *μόνος.* ‖ 119 **ἔω**-ὦ 32., *ἱκανὸν μὲν ἦν αὐτῷ καὶ τῶν ἀριστέων μόνον εἰπεῖν. ἀλλὰ διὰ τοῦτο πάντων ἔφη, ἵνα τὴν εἰς αὐτὸν ἀτιμίαν αὐξήσῃ.* ‖ 120 **τό**-τοῦτο 21. | **ὅ**-ὅτι 21. | **ἔρχεται ἄλλῃ,** *ἔστιν ἄλλοσε, ὥσπερ τὸ «πάντῃ» (384).* ‖ 121 **τόν**-αὐτόν 21. | **ποδάρκης,** *ὠκὺς τοῖς ποσίν, ἢ ἀρκεῖν δυνάμενος.* Hes. ‖ 122 **φιλοκτεανώτατε,** *οὐ γὰρ γέρως Ἀγαμέμνων, κέρδους ἀντιποιεῖται.* ‖ 123 **τοί** ep.-σοί. ‖ 124 **ἴδμεν** ep.-ἴσμεν. | **ξυνήια**, *ξυνὸν δὲ ξυνεῖον ὡς κοινὸν κοινεῖον· καὶ διαιρέσει Ἰωνικῇ ξυνήϊον.* ‖

ἀλλὰ τὰ μὲν πολίων ἐξεπράθομεν, τὰ δέδασται,
λαοὺς δ' οὐκ ἐπέοικε παλίλλογα ταῦτ' ἐπαγείρειν.
ἀλλὰ σὺ μὲν νῦν τῇνδε θεῷ πρόες· αὐτὰρ Ἀχαιοὶ
τριπλῇ τετραπλῇ τ' ἀποτείσομεν, αἴ κέ ποθι Ζεὺς
δῷσι πόλιν Τροίην εὐτείχεον ἐξαλαπάξαι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·
μὴ δ' οὕτως ἀγαθός περ ἐὼν θεοείκελ' Ἀχιλλεῦ
κλέπτε νόῳ, ἐπεὶ οὐ παρελεύσεαι οὐδέ με πείσεις.
ἦ ἐθέλεις ὅφρ' αὐτὸς ἔχῃς γέρας, αὐτὰρ ἔμ' αὖτως
ἧσθαι δευόμενον, κέλεαι δέ με τῆνδ' ἀποδοῦναι;
ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ
ἄρσαντες κατὰ θυμὸν ὅπως ἀντάξιον ἔσται·
εἰ δέ κε μὴ δώωσιν ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
ἢ τεὸν ἢ Αἴαντος ἰὼν γέρας, ἢ Ὀδυσῆος
ἄξω ἑλών· ὃ δέ κεν κεχολώσεται ὅν κεν ἵκωμαι.
ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖτις,
νῦν δ' ἄγε νῆα μέλαιναν ἐρύσσομεν εἰς ἅλα δῖαν,
ἐν δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν, ἐς δ' ἑκατόμβην
θείομεν, ἂν δ' αὐτὴν Χρυσηΐδα καλλιπάρῃον
βήσομεν· εἷς δέ τις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω,
ἢ Αἴας ἢ Ἰδομενεὺς ἢ δῖος Ὀδυσσεὺς

125 **τά**-ἅ 21. | **πολίων** ep.-πόλεων 16. | **ἐξεπράθομεν**, *ἐξεπορθήσαμεν.* Hes. | **τά**-ταῦτα 21. | **δέδασται**, *μεμέρισται.* S. || 126 **λαούς**-λεώς 11. | **παλίλλογα,** *οὐ δίκαιόν ἐστι εἰς τὸ αὐτὸ συναγαγεῖν τοὺς Ἕλληνας τὰ ἅπαξ φθάσαντα αὐτοῖς διαμερισθῆναι χρήματα. παρὰ τὸ λέγω, ὅθεν καὶ τὸ συλλέγω.* || 127 **θεῷ πρόες,** *πρὸς τὸ ἀναγκαῖον τῆς ἀποδόσεως οὐκ πατρὶ πρόες οὐδ' Ἀχαιοῖς, ἀλλὰ τῷ θεῷ.* || 128 **τριπλῇ,** *ἀντὶ τοῦ τριπλῶς.* | **αἴ κέ ποθι,** *ἐάν ποτε.* S. || 129 **δῷσι**-δῷ 23., *Ζωίλος δὲ ὁ Ἀμφιπολίτης καὶ Χρύσιππος ὁ Στωϊκὸς σολοικίζειν οἴονται τὸν ποιητήν, ἀντὶ ἑνικοῦ πληθυντικῷ χρησάμενον ῥήματι· τὸ γὰρ δῷσι φασὶ πληθυντικόν. ἀγνοοῦσι δέ· ἔστι γὰρ τὸ δῷ ἑνικὸν ἐκτεταμένον, ὡς τὸ λέγῃ λέγῃσι, φέρῃ φέρῃσι.* | **Τροίην**-Τροίαν 10., **ἐξαλαπάξαι,** *ἐκπορθῆσαι.* Hes. || 130 **τόν**-αὐτόν 21. || 131 **ἀγαθός περ,** *ἀντειρωνεύεται πρὸς τὸ «κύδιστε» (122). ὁ δὲ «πέρ» ἐναντιωματικός ἐστιν.* | **ἐών**-ὤν 32. || 132 **κλέπτε νόῳ**-νῷ 14., *παραλογίζομαι.* S. | **παρελεύσεαι**-παρελεύσῃ 25., *ἀπὸ τῶν δρομέων.* || 133 **ὄφρα**, *ἵνα.*, *ἀθετοῦνται, εὐτελεῖς τῇ συνθέσει καὶ τῇ διανοίᾳ, καὶ μὴ ἁρμόζοντες Ἀγαμέμνονι.* || 134 **κέλεαι**-κέλῃ 25. || 136 **ἄρσαντες,** *Ἀρίσταρχος δασύνει· ἔνθεν γάρ φησι γεγονέναι καὶ τὸ ἅρμα. ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ, λέγων ἀπὸ τοῦ ἄρω, οὗ ὁ μέλλων Αἰολικῶς ἄρσω.* || 137 **εἰ δέ κε** ep.-ἐάν δέ. | **δώωσι**-δῶσι 3. | **κέν** … **ἕλωμαι** 38. || 138 **τεόν** ep.-σόν. | **Ὀδυσῆος**-Ὀδυσσέως 5./17. || 139 **ὅ**-αὐτός 21. | **κέν κεχολώσεται**-χολώσηται 28./36./38., *δοκεῖ ὑπὲρ ἑαυτοῦ ἀπολογεῖσθαι.* | **κέν ἵκωμαι** 38. || 140 **μεταφρασόμεσθα**-μεταφρασόμεθα 26. | **αὖτις** ep.-αὖθις. || 141 **νῆα**-νέα 16. | **ἐρύσσομεν**-ἐρύσωμεν 6./28. || 142 **ἐν** … **ἀγείρομεν**-ἐναγείρωμεν 20./28. | **ἐς** … **θείομεν** ep.-εἰσθῶμεν 20./28. || 143 **ἄν** … **βήσομεν**-ἀναβήσωμεν 1./20./28. | **καλλιπάρῃον** ep.-καλλιπάρειον 3., *ἡ καλὰς παρειὰς ἔχουσα.* S. || 144 **ἀρχός,** *ναύαρχος.* | **βουληφόρος,** *ᾧ τὰ κοινὰ τῆς βουλῆς ἐπαναφέρεται.* || 145 *παραφυλακτέον δὲ ὅτι, ὅτε μὲν ἀτιμάσαι ἀπειλεῖ, προτίθησι τῶν ἀτιμαζομένων τὸν Ἀχιλλέα, «ἢ τεὸν ἢ Αἴαντος» (138), ὅτε δὲ ὑπὲρ Ἑλλήνων θῦσαι ἔδει ἀπελθόντα, τελευταῖον αὐτὸν καταλέγει καὶ μετὰ ὕβρεως.* ||

ἠὲ σὺ Πηλεΐδη πάντων ἐκπαγλότατ' ἀνδρῶν,
ὄφρ' ἧμιν ἐκάεργον ἱλάσσεαι ἱερὰ ῥέξας.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
ὤ μοι ἀναιδείην ἐπιειμένε κερδαλεόφρον
πῶς τίς τοι πρόφρων ἔπεσιν πείθηται Ἀχαιῶν
ἢ ὁδὸν ἐλθέμεναι ἢ ἀνδράσιν ἶφι μάχεσθαι;
οὐ γὰρ ἐγὼ Τρώων ἕνεκ' ἤλυθον αἰχμητάων
δεῦρο μαχεσσόμενος, ἐπεὶ οὔ τί μοι αἴτιοί εἰσιν·
οὐ γὰρ πώποτ' ἐμὰς βοῦς ἤλασαν οὐδὲ μὲν ἵππους,
οὐδέ ποτ' ἐν Φθίῃ ἐριβώλακι βωτιανείρῃ
καρπὸν ἐδηλήσαντ', ἐπεὶ ἦ μάλα πολλὰ μεταξὺ
οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα·
ἀλλὰ σοὶ ὦ μέγ' ἀναιδὲς ἅμ' ἑσπόμεθ' ὄφρα σὺ χαίρῃς,
τιμὴν ἀρνύμενοι Μενελάῳ σοί τε κυνῶπα
πρὸς Τρώων· τῶν οὔ τι μετατρέπῃ οὐδ' ἀλεγίζεις·
καὶ δή μοι γέρας αὐτὸς ἀφαιρήσεσθαι ἀπειλεῖς,
ᾧ ἔπι πολλ' ἐμόγησα, δόσαν δέ μοι υἷες Ἀχαιῶν.
οὐ μὲν σοί ποτε ἶσον ἔχω γέρας ὁππότ' Ἀχαιοὶ
Τρώων ἐκπέρσωσ' εὖ ναιόμενον πτολίεθρον·
ἀλλὰ τὸ μὲν πλεῖον πολυάϊκος πολέμοιο
χεῖρες ἐμαὶ διέπουσ'· ἀτὰρ ἤν ποτε δασμὸς ἵκηται,
σοὶ τὸ γέρας πολὺ μεῖζον, ἐγὼ δ' ὀλίγον τε φίλον τε

146 **ἠέ** ep.-ἤ 3. | **ἐκπαγλότατε,** *ὑβριστικὸν γὰρ τὸ ἔκπαγλον καὶ ἀεικές.* || 147 **ὄφρα**, *ἵνα.* | **ἱλάσσεαι**-ἱλάσῃ 6./25./28. || 148 **τόν**-αὐτόν 21. || 149 **ἀναιδείην**-ἀναίδειαν 10. | **ἐπιειμένε**, *προφανῆ τὴν ἀναίδειαν ἔχων ἀπὸ μεταφορᾶς τῆς ἔξω καὶ πᾶσιν ὁρωμένης ἐσθῆτος.* | **κερδαλεόφρον,** *δολιόβουλος, σκολιὰ βουλευόμενος.* S. || 150 **τοί** ep.-σοί., *τοῦτο κατὰ ἀγανάκτησιν, ἤτοι ἐπιτίμησιν.* || 151 **ἢ ὁδόν,** *φασὶ μέν τινες περὶ τοῦ πλοῦ λέγειν. ἐγὼ δὲ τὸν λόχον φημί, ἐπείπερ τὴν ὁδὸν λοχῶσι.* | **ἐλθέμεναι**-ἐλθεῖν 33. || 152 **ἤλυθον** ep.-ἦλθον. | **αἰχμητάων** ep.-αἰχμητῶν 8., *ὁ ἔπαινος τῶν πολεμίων καὶ λυπεῖ Ἀγαμέμνονα καὶ Ἀχιλλεῖ δόξαν φέρει, ὡς ἐπὶ γενναίους στρατεύσαντι.* || 153 **μαχεσσόμενος** ep.-μαχούμενος. | **οὔ τί μοι αἴτιοί εἰσιν,** *ἅμα μὲν δηλοῖ ὅτι οὐκ πρόφασιν τῆς στρατιᾶς ἔχει (ἄλλως γὰρ ἂν προβάσης αἰτίας εὐλόγου ἐστράτευσεν, ἢ διὰ βοῦς ἐλαθείσας ἢ διὰ δῃουμένην γῆν, οὐχὶ δ' ὡς οἱ Ἀτρεῖδαι διὰ πεπορνευκὸς γύναιον), ἅμα δέ γε παρεμφαίνει ὡς βιασθεὶς πρὸς Ἴλιον ἔπλευσεν.* || 155 **Φθίῃ** ep.-Φθίᾳ 10. | **ἐριβώλακι,** *ἡ εὔγειος γῆ.* S. | **βωτιανείρῃ** ep.-βωτιανείρᾳ 10., *ἡ βόσκουσα τοὺς ἄνδρας.* S. || 157 **οὔρεα**-ὄρη 4./18. | **θάλασσα**-θάλαττα 7. | **ἠχήεσσα,** *ἠχώδης, εὔηχος, θορυβώδης.* Hes. || 158 **ὄφρα**, *ἵνα.* || 159 **τιμὴν ἀρνύμενοι,** *Ζηνόδοτος γράφει «τιμὴν ἀρνύμενος», καὶ τὸν ἑξῆς ἠθέτηκεν. ἠγνόηκε δὲ ὅτι ἡ τιμὴ νῦν ἀντὶ τῆς τιμωρίας κεῖται· καὶ τὸ ἀρνύμενος οὐκ ἔστι λαμβάνων, ἀλλ' ἀντὶ τοῦ εἰσπραττόμενος παρὰ Τρώων.* | **Μενελάῳ**-Μενελέῳ 11. || 160 **τῶν**-ὧν 21. | **τῶν οὔ τι μετατρέπῃ,** *τῶν ἀκολουθησάντων· ἢ τῶν προπεπονημένων· ἢ τῶν Τρώων, ὧν ἀμελήσας περὶ παλλακιδίου διαλέγῃ.* || 162 **ᾧ ἔπι** ep.-ἐφ'ᾧ. | **δόσαν**-ἔδοσαν 29. | **υἷες** ep.-υἱοί. || 163 **ὁππότε**-ὁπότε 6. || 164 **Τρώων ἐκπέρσωσι**, *φανερὸν ἐκ τούτου, ὡς καὶ ἐν τοῖς ἐπάνω (129), ὅτι περί τινος τῶν περιχώρων ἐστὶ πόλεων ὁ λόγος.* || 165 **πλεῖον** ep.-πλέον. | **πολυάϊκος,** *πολλὰς ὁρμὰς καὶ κινήσεις ἔχοντος τῶν μαχομένων.* Hes. | **πολέμοιο**-πολέμου 13. || 167 **ὀλίγον τε φίλον τε,** *φίλον διὰ τὸ ἐξ ἰδίων εἶναι κατωρθωμάτων· αὕτη γὰρ ἡ κτῆσις εὐφραίνει, ἡ δὲ ἐναντία ἐλέγχει.* ||

ἔρχομ' ἔχων ἐπὶ νῆας, ἐπεί κε κάμω πολεμίζων.
νῦν δ' εἶμι Φθίηνδ', ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστιν
οἴκαδ' ἴμεν σὺν νηυσὶ κορωνίσιν, οὐδέ σ' ὀΐω
ἐνθάδ' ἄτιμος ἐὼν ἄφενος καὶ πλοῦτον ἀφύξειν.
Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν ᾽Αγαμέμνων·
φεῦγε μάλ' εἴ τοι θυμὸς ἐπέσσυται, οὐδέ σ' ἔγωγε
λίσσομαι εἵνεκ' ἐμεῖο μένειν· πάρ' ἐμοί γε καὶ ἄλλοι
οἵ κέ με τιμήσουσι, μάλιστα δὲ μητίετα Ζεύς.
ἔχθιστος δέ μοί ἐσσι διοτρεφέων βασιλήων·
αἰεὶ γάρ τοι ἔρις τε φίλη πόλεμοί τε μάχαι τε·
εἰ μάλα καρτερός ἐσσι, θεός που σοὶ τό γ' ἔδωκεν·
οἴκαδ' ἰὼν σὺν νηυσί τε σῇς καὶ σοῖς ἑτάροισι
Μυρμιδόνεσσιν ἄνασσε, σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω,
οὐδ' ὄθομαι κοτέοντος· ἀπειλήσω δέ τοι ὧδε·
ὡς ἔμ' ἀφαιρεῖται Χρυσηΐδα Φοῖβος ᾽Απόλλων,
τὴν μὲν ἐγὼ σὺν νηΐ τ' ἐμῇ καὶ ἐμοῖς ἑτάροισι

168 **νῆας**-ναῦς 16. | **ἐπεί κε** ep.-ἐπεάν, *ἐπὴν κεκάμω, ᾽Αρίσταρχος γράφει «ἐπεί κε κάμω» ἵνα μὴ ᾖ διπλασιασμὸς ἐν τῷ ῥήματι. καὶ οὕτως ἡ συνήθης ἀνάγνωσις. οὕτω δὲ καὶ ῾Ηρωδιανὸς, φάσκων ὅτι «τὸ ἐπήν ἔχει τὸν ἄν, καὶ τίς χρεία ἐν δευτέρῳ αὐτὸν κεῖσθαι; οὐκ ἀγνοῶ δὲ ὅτι τινὲς ἐπήν κε γράφουσι».* || 169 **Φθίηνδε** ep.-εἰς Φθίαν 10. || 170 **ἴμεν**-ἰέναι 33. | **νηυσί**-ναυσί 16. | **κορωνίσιν**, *καμπυλόπρυμνος.* Hes. || 171 **ἐών**-ὤν 32. | **ἄφενος καὶ πλοῦτον ἀφύξειν,** *πικρῶς φησι σκοπὸν συναγωγῆς χρημάτων αὐτῷ τὸν πόλεμον ἐξευρεῖν.* || 172 **τόν**-αὐτόν 21. || 173 **φεῦγε μάλ' ,** *τὴν ὑποχώρησιν φυγὴν ὀνομάζει καταισχύνων αὐτόν.* | **τοί** ep.-σοί. | **εἴ τοι θυμὸς ἐπέσσυται,** *εἰ λίαν ὥρμησαι ...* **θυμός**, *τοῦτο τὸ ὄνομα παρὰ τῷ ποιητῇ – ἐπίφρονι βουλῇ.* || 174 **εἵνεκα**-ἕνεκα 3. | **ἐμεῖο** ep.-ἐμοῦ. | **πάρ' ἐμοί**-πάρεισιν ἐμοί. || 175 **κέ με τιμήσουσιν** 38. | **μητίετα** ep.-μητιέτης 9., *ὡς καὶ τὸ «ἐκ δὲ Διὸς βασιλῆες» (Hesiod. Th. 96), θαρσύνει δὲ τοὺς ἄλλους, παρατιθεὶς αὐτοῖς τὸν Δία ἀντὶ ᾽Αχιλλέως. τῇ δὲ πρὸς τὸν θεὸν κοινωνίᾳ οὐχ ὑπηρέτας αὐτοὺς πεποίηκεν, εἰς δὲ τὴν ἰσόθεον εὐεργεσίαν ἐξῆρε τοὺς ῞Ελληνας.* || 176 **ἐσσί** ep.-εἶ. | **διοτρεφέων** ep.-διοτρεφῶν 18.,*ὑπὸ Διὸς τεθραμμένος.* S. | **βασιλήων**-βασιλέων 17. || 177 **αἰεί** ep.-ἀεί. | **τοί** ep.-σοί. | **ἔρις τε φίλη,** *τὰ πλεονεκτήματα ὀνείδη μεθίστησιν, ὡς εἴ τις τὸν ἀνδρεῖον βίαιον καλεῖ καὶ τὸν σιωπηλὸν δόλιον.* || 178 **ἐσσί** ep.-εἶ. | **τό**-τοῦτο 21. | **θεός που σοὶ τό γ' ἔδωκεν,** *εὐτυχίαν, οὐκ ἀρετὴν ἰδίαν αὐτῷ μαρτυρεῖ. πιθανῶς δὲ ἐπὶ μὲν τοῦ ᾽Αχιλλέως ἀορίστως ἔφη τὸ θεός, ἐπὶ δὲ αὐτοῦ ὡρισμένως φέρει τὸν Δία (175).* || 179 **νηυσί**-ναυσί 16. | **σῇς**-σαῖς 8. | **ἑτάροισιν** ep.-ἑταίροις 12. || 180 **Μυρμιδόνεσσιν**-Μυρμιδόνεσι 19. | **ἄνασσε,** *φασὶν Αἰγίνης τῆς ᾽Ασώπου ἐρασθῆναι τὸν Δία καί τῳ τῶν φίλων παρεικασθῆναι, καὶ εἰς Φλιοῦντα διακομίσαι, καὶ εἶθ' οὕτως αὐτῇ μιγῆναι. ἀδημονοῦντος δὲ τοῦ ἐκεῖσε βασιλεύοντος διὰ τὴν τῶν ἐνοικούντων σπάνιν, λέγουσι τὸν Δία τοὺς αὐτόθι μύρμηκας ἀνδρωθῆναι ποιῆσαι, τοῦ βασιλέως Αἴγιναν αἰτησαμένου καὶ αὐτῆς τὸν Δία παραπεισάσης. ἔνθεν τοὺς Μυρμιδόνας μυθολογοῦσι γενέσθαι.* | **σέθεν** ep.-σοῦ. || 181 **ὄθομαι,** *οὐ ταράσσομαι, παρὰ τὸν ὄτοβον τὸν τάραχον.* | **κοτέοντος** ep.-κοτοῦντος 32. || 182 **Φοῖβος,** *πιθανῶς οὐχ ὑπὸ τῶν ῾Ελλήνων φησὶν ἀφαιρεῖσθαι τὸ γέρας, ἵνα μὴ ὕποπτος γένηται ὡς μισῶν αὐτούς, διότι ἀποδίδωσιν, οὐδὲ ὑπὸ ᾽Αχιλλέως, ἵνα μὴ οἱ ῞Ελληνες ᾽Αχιλλεῖ χάριν ἔχωσιν· ἀλλ' ὑπὸ τοῦ θεοῦ ἀφαιρεῖσθαί φησιν, ὡς οὐκ ἀνθρώπων ἥττων, ἀλλὰ θεοῦ γενόμενος. εὖ δὲ καὶ τὸ καθ' ἑαυτὸν ηὔξησεν, ὡς τοσοῦτον ᾽Αχιλλέως προῦχων ὅσον τοῦ θεοῦ ἀπολείπεται.* || 183 **τήν**-αὐτήν 21. | **ἑτάροισιν** ep.-ἑταίροις 12. ||

πέμψω, ἐγὼ δέ κ' ἄγω Βρισηΐδα καλλιπάρῃον
αὐτὸς ἰὼν κλισίηνδε τὸ σὸν γέρας ὄφρ' ἐῢ εἰδῇς
ὅσσον φέρτερός εἰμι σέθεν, στυγέῃ δὲ καὶ ἄλλος
ἶσον ἐμοὶ φάσθαι καὶ ὁμοιωθήμεναι ἄντην.
Ὣς φάτο· Πηλεΐωνι δ' ἄχος γένετ', ἐν δέ οἱ ἦτορ
στήθεσσιν λασίοισι διάνδιχα μερμήριξεν,
ἢ ὅ γε φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
τοὺς μὲν ἀναστήσειεν, ὃ δ' Ἀτρεΐδην ἐναρίζοι,
ἦε χόλον παύσειεν ἐρητύσειέ τε θυμόν.
ἦος ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
ἕλκετο δ' ἐκ κολεοῖο μέγα ξίφος, ἦλθε δ' Ἀθήνη
οὐρανόθεν· πρὸ γὰρ ἧκε θεὰ λευκώλενος Ἥρη
ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε·
στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλεΐωνα
οἴῳ φαινομένη· τῶν δ' ἄλλων οὔ τις ὁρᾶτο·
θάμβησεν δ' Ἀχιλεύς, μετὰ δ' ἐτράπετ', αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην· δεινὰ δέ οἱ ὄσσε φάανθεν·
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
τίπτ' αὖτ' αἰγιόχοιο Διὸς τέκος εἰλήλουθας;
ἦ ἵνα ὕβριν ἴδῃ Ἀγαμέμνονος Ἀτρεΐδαο;
ἀλλ' ἔκ τοι ἐρέω, τὸ δὲ καὶ τελέεσθαι ὀΐω·
ἧς ὑπεροπλίῃσι τάχ' ἄν ποτε θυμὸν ὀλέσσῃ.

184 **καλλιπάρῃον** ep.-καλλιπάρειον 3. || 185 **κλισίηνδε** ep.-εἰς κλισίαν 10. | **ὄφρα**, *ἵνα.* || 186 **σέθεν** ep.-σοῦ. | **στυγέῃ**-στυγῇ 32. || 187 **φάσθαι** ep.-φάναι, *ἀναιρεῖ τὴν ἐν ταῖς ἐκκλησίαις ἰσηγορίαν· διὸ καὶ οἱ Ἀχαιοὶ φεύγουσιν, οὐ δυνάμενοι δικαιολογεῖσθαι αὐτῷ.* | **ὁμοιωθήμεναι** ep.-ὁμοιωθῆναι. || 188 **φάτο** ep.-ἔφη. | **γένετο**-ἐγένετο 29. | **οἱ** ep.-αὐτῷ. || 189 **στήθεσσι**-στήθεσι 19. | **λασίοισι**-λασίοις 12., *σημαίνει δὲ καὶ τοῖς θερμοῖς· ἡ θέρμη γὰρ αἰτία τῆς ἐκφύσεως τῶν τριχῶν.* | **μερμήριξεν** ep.-ἐμερμήριξεν 29., *μερίζω μερμερίζω, καὶ ἐκτάσει μερμηρίζω ὡς δάπτω δαρδάπτω.* || 190 **ὅ**-αὐτός 21. | **ἐρυσσάμενος**-ἐρυσάμενος 6., *σπασάμενος.* || 191 **ὅ**-αὐτός 21. || 192 **ἦέ** ep.-ἤ., *ἡ γὰρ ὕβρις ἀνεζωπύρει, ἡ δὲ φρόνησις κατέστελλε. τοῦτο δὲ ὑποφαίνει διὰ τοῦ «κατὰ φρένα καὶ κατὰ θυμόν» (193).* | **ἐρητύσειε,** *κωλύσειε. ἐπειδὴ τὸ μὲν (sc. χόλος) διαχεόμενόν ἐστιν, ὡς ἐπὶ ὕδατος ῥέοντος εἶπε* **παύσειεν**. *ὁ δὲ θυμὸς ἐπειδὴ τὸ θῦόν ἐστι, τῷ* **ἐρητύσειεν** *ἐχρήσατο.* || 193 **ἦος**, *νῦν ἀντὶ τοῦ τέως.* | **ὅ**-αὐτός 21. | **ὥρμαινε,** *διενοεῖτο.* || 194 **ἕλκετο**-εἵλκετο 29. | **κολεοῖο**-κολέου 13. | **Ἀθήνη**-Ἀθηνᾶ 10. || 195 **πρό** … **ἧκε**-προῆκε 20. | **Ἥρη**-Ἥρα 10. || 196 **φιλέουσα**-φιλοῦσα 32. || 197 **στῆ**-ἔστη 29. | **ὄπιθεν** ep.-ὄπισθεν. | **ἕλε**-εἷλε 29., **ξανθῆς κόμης,** *διὰ τούτου δὲ αἰνίττεται τὸ θερμὸν καὶ ὀργίλον τοῦ ἥρωος· οἱ γὰρ ξανθόχολοι τοιοῦτοι.* || 198 **οἴῳ** ep.-μόνῳ. | **ὁρᾶτο** ep.-ἑωρᾶτο. || 199 **θάμβησεν**-ἐθάμβησεν 29. | **Ἀχιλεύς**-Ἀχιλλεύς 5. | **μετά** … **ἐτράπετο**-μετετράπετο 20. || 200 **Ἀθηναίην** ep.-Ἀθηναίαν 10. | **οἱ** ep.-αὐτῇ. | **φάανθεν**-ἐφάνθησαν 3./24./29. || 201 **μίν** ep.-αὐτήν. | **φωνήσας,** *προσκαλεσάμενος, ἢ τὸ ὄνομα αὐτῆς εἰπών.* | **ἔπεα**-ἔπη 18. || 202 **αἰγιόχοιο** ep.-αἰγιόχου 13., *τοῦ ἀπὸ τῆς αἰγὸς ὀχὴν λαβόντος.* | **εἰλήλουθας**-ἐλήλυθας 3. || 203 **Ἀτρείδαο**-Ἀτρείδου 13. || 204 **ἔκ** … **ἐρέω**-ἐξερῶ 20./32. | **τοί** ep.-σοί. | **τό**-τοῦτο, ὅ 21. | **τελέεσθαι**-τελεῖσθαι 32. || 205 **ἧς ὑπεροπλίῃσι** ep.-ὑπεροπλίαις αὐτοῦ 8. | **ἄν** … **ὀλέσσῃ**-ἄν … ὀλέσῃ 6./38., *ὑπ' ἐμοῦ δέ φησιν ἀπολεῖται.* ||

Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
ἦλθον ἐγὼ παύσουσα τὸ σὸν μένος, αἴ κε πίθηαι,
οὐρανόθεν· πρὸ δέ μ' ἧκε θεὰ λευκώλενος Ἥρη
ἄμφω ὁμῶς θυμῷ φιλέουσά τε κηδομένη τε·
ἀλλ' ἄγε λῆγ' ἔριδος, μηδὲ ξίφος ἕλκεο χειρί·
ἀλλ' ἤτοι ἔπεσιν μὲν ὀνείδισον ὡς ἔσεταί περ·
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
καί ποτέ τοι τρὶς τόσσα παρέσσεται ἀγλαὰ δῶρα
ὕβριος εἵνεκα τῆσδε· σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
χρὴ μὲν σφωΐτερόν γε θεὰ ἔπος εἰρύσσασθαι
καὶ μάλα περ θυμῷ κεχολωμένον· ὥς γὰρ ἄμεινον·
ὅς κε θεοῖς ἐπιπείθηται μάλα τ' ἔκλυον αὐτοῦ.
Ἦ καὶ ἐπ' ἀργυρέῃ κώπῃ σχέθε χεῖρα βαρεῖαν,
ἂψ δ' ἐς κουλεὸν ὦσε μέγα ξίφος, οὐδ' ἀπίθησε
μύθῳ Ἀθηναίης· ἣ δ' Οὔλυμπόνδε βεβήκει
δώματ' ἐς αἰγιόχοιο Διὸς μετὰ δαίμονας ἄλλους.
Πηλεΐδης δ' ἐξαῦτις ἀταρτηροῖς ἐπέεσσιν
Ἀτρεΐδην προσέειπε, καὶ οὔ πω λῆγε χόλοιο·

206 **τόν**-αὐτόν 21. | **προσέειπε**-προσεῖπε 3. | **'Αθήνη**-'Αθηνᾶ 10. | **γλαυκῶπις,** *φοβερὰ ἐν τῷ ὁρᾶσθαι. λαμπρόφθαλμος.* Hes. || 207 **αἴ κε** ep.-ἐάν. | **πίθηαι** ep.-πείσῃ 25. || 208 **πρό** . . . **ἧκε**-προῆκε 20. | **Ἥρη**-Ἥρα 10. || 209 **φιλέουσα**-φιλοῦσα 32., *τὸ σφριγῶν τοῦ θυμοῦ μαλακοῖς ἰᾶται λόγοις. ὅμως ἐκδειματοῖ, καὶ τὸν ἐχθρὸν θεοφιλῆ εἶναι λέγουσα. οὐ πᾶς δὲ ὁ φιλῶν κήδεται ὡς λύκος ἄρνα.* || 210 **λῆγ' ἔριδος,** *τεχνικῶς λίαν οὐχ ἅμα πάσης αὐτὸν ἐκκόπτει τῆς ἐπιθυμίας, ἀλλ' ὡς ἰατρὸς οἶνον ἀπαγορεύων ὕδωρ δίδωσιν, οὕτως διὰ τὸ τοῦ μείζονος ἐκτρέψαι συγχωρεῖ τὸ ὀλίγον.* | **ἕλκεο**-ἕλκου 25. || 211 **ἔσεται** ep.-ἔσται. || 212 **ἐξερέω**-ἐξερῶ 32. | **τό δέ**-τόδε 21. | **τετελεσμένον ἔσται,** *ὁ μὲν ὡς ἄνθρωπος «οἴω» (204), ἡ δὲ ὡς θεὸς διαβεβαιοῦται.* || 213 **τοί** ep.-σοί. | **τόσσα**-τόσα 6. | **παρέσσεται** ep.-παρέσται, *πόθεν δέ φασιν ἡ Ἀθηνᾶ οἶδεν, ὅτι ὁ Ἀχιλλεὺς λήψεται πολλαπλάσια δῶρα; οὐδέπω γὰρ τῇ Θέτιδι τὴν Ἀχιλλέως τιμὴν ὑπέσχετο ὁ Ζεύς. ὅτι οὐ μόνον θεός, ἀλλὰ καὶ ὁ τυχὼν ἄνθρωπος γνοίη, ὅτι οἱ τοὺς κρείττους ἀτιμάσαντες, εἰ κινδυνεύσειαν, ἐπὶ τοὺς ὑβρισμένους καταφεύγουσιν.* || 214 **ὕβριος**-ὕβρεως 16. | **εἵνεκα**-ἕνεκα 3. | **ἴσχεο**-ἴσχου 25. | **πείθεο**-πείθου 25. || 215 **τήν**-αὐτήν 21. || 216 **σφωίτερον**, *πρὸς δύο ἀμείβεται· σφωΐτερόν ἐστι δυϊκόν.* | **εἰρύσσασθαι**-ἐρύσασθαι 3./6. || 218 **κέ** ep.-ἄν. || 219 **ἤ**, *δηλοῖ . . . τὸ ἔφη· «ἦ καὶ κυανέῃσιν» (528) . . . τοῦτο φιλῶς λεγόμενον καὶ περισπωμένως δηλοῖ σύνδεσμον παραπληρωματικὸν τὸν ἤτοι, ἴσον τῷ δή, οἷον «ἐπεὶ ἦ πολὺ φέρτερόν ἐστι» (169), καὶ παραλλήλως «ἦ δὴ λοίγια ἔργα» (518).;* **ἀργυρέῃ**-ἀργυρῇ 14., *ἀργυροήλῳ. κώπη δὲ τὸ κωπίον, ἤγουν ἡ τοῦ ξίφους λαβή. βαρεῖαν δὲ τὴν πρώην ἐπτερωμένην τῷ θράσει, ἢ τὴν ἑτέρους τοῖς ὅπλοις βαρύνουσαν.* | **σχέθε** ep.-ἔσχε. || 220 **ἐς** ep.-εἰς. | **κουλεόν,** *παρὰ τὸ κοῖλον εἶναι.* | **ὦσε** ep.-ἔωσε. | **ἀπίθησεν**-ἠπίθησεν 29. || 221 **'Αθηναίης** ep.-Ἀθηναίας 10. | **ἣ**-αὐτή 21. | **Οὔλυμπόνδε**-εἰς Ὄλυμπον 4. | **βεβήκει**-ἐβεβήκει 29. || 222 **ἐς** ep.-εἰς. | **αἰγιόχοιο** ep.-αἰγιόχου 13., **μετά,** *ἀντὶ τοῦ ἐπί.* || 223 **ἐξαῦτις**-ἐξαῦθις. | **ἀταρτηροῖς,** *ἀτηροῖς.* | **ἐπέεσσιν**-ἔπεσιν 3./19. || 224 **προσέειπε**-προσεῖπε 3. | **λῆγε**-ἔληγε 29. | **χόλοιο**-χόλου 13. ||

οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο,
οὔτέ ποτ' ἐς πόλεμον ἅμα λαῷ θωρηχθῆναι
οὔτε λόχον δ' ἰέναι σὺν ἀριστήεσσιν Ἀχαιῶν
τέτληκας θυμῷ· τὸ δέ τοι κὴρ εἴδεται εἶναι.
ἦ πολὺ λώϊόν ἐστι κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
δῶρ' ἀποαιρεῖσθαι ὅς τις σέθεν ἀντίον εἴπῃ·
δημοβόρος βασιλεὺς ἐπεὶ οὐτιδανοῖσιν ἀνάσσεις·
ἦ γὰρ ἂν Ἀτρεΐδη νῦν ὕστατα λωβήσαιο.
ἀλλ' ἔκ τοι ἐρέω καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι·
ναὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν οὔ ποτε φύλλα καὶ ὄζους
φύσει, ἐπεὶ δὴ πρῶτα τομὴν ἐν ὄρεσσι λέλοιπεν,
οὐδ' ἀναθηλήσει· περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεφε
φύλλά τε καὶ φλοιόν· νῦν αὖτέ μιν υἷες Ἀχαιῶν
ἐν παλάμῃς φορέουσι δικασπόλοι, οἵ τε θέμιστας
πρὸς Διὸς εἰρύαται· ὃ δέ τοι μέγας ἔσσεται ὅρκος·
ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν
σύμπαντας· τότε δ' οὔ τι δυνήσεαι ἀχνύμενός περ
χραισμεῖν, εὖτ' ἂν πολλοὶ ὑφ' Ἕκτορος ἀνδροφόνοιο
θνήσκοντες πίπτωσι· σὺ δ' ἔνδοθι θυμὸν ἀμύξεις
χωόμενος ὅ τ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισας.
Ὣς φάτο Πηλεΐδης, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ

225 **κραδίην** ep.-καρδίαν 10. | **ἐλάφοιο**-ἐλάφου 13., *Ἰσοκράτης (4, 142) Κόνωνι τῷ Ἀθηναίων στρατηγῷ τρία μαρτυρεῖ, ἐπιμέλειαν, πίστιν, ἐμπειρίαν πολέμου. τούτων τὰ ἐναντία κατανοήσας Ἀγαμέμνονα ὀνειδίζει· ἐξ οἰνοποσίας μὲν γὰρ ἀμέλεια, ἀπιστία δὲ ἐξ ἀναιδείας, καὶ πολέμων ἀπειρίαν ἡ δειλία ἐργάζεται . . . λέγεται κραδίαν μὴ ἔχειν τὸ ἐλάφιον.* || 226 **ἐς** ep.-εἰς. | **λαῷ**-λεῷ 11. | **θωρηχθῆναι,** *καθοπλισθῆναι.* Hes. || 227 **ἀριστήεσσιν**-ἀριστεῦσι 17./19., *ἀνδρεῖος.* Hes. || 228 **τό**-τοῦτο 21. || 229 **λώϊον**-λῷον 3. || 230 **ἀποαιρεῖσθαι** ep.-ἀφαιρεῖσθαι 3. | **σέθεν** ep.-σοῦ. | **ἀντίον εἴπῃ**, *ὡς ἀφαιροῦντα τὴν ἰσολογίαν διαβάλλει.* || 231 **δημοβόρος,** *κινητικὰ ταῦτα τοῦ πλήθους· μεγίστη κατηγορία τὸ σφετερίζεσθαι τὰ κοινά.* | **οὐτιδανοῖσιν** ep.-οὐτιδανοῖς 12., *οὐτισί.* || 233 **ἔκ** . . . **ἐρέω**-ἐξερῶ 20./32. | **τοί** ep.-σοί. | **ἐπί** . . . **ὀμοῦμαι**-ἐπομοῦμαι 20., *ἐπόμνυσθαί ἐστι τὸ ὑπισχνούμενον ὁμόσαι, ἀπομνύναι δὲ τὸ ἀποφάσκειν. μέγαν δὲ ὅρκον ἢ τὸν κοινὸν τῶν ὅρκων ἢ τὸν ὡς ἀληθῶς παρ' αὐτοῦ τελεσθησόμενον.* || 234 **τό**-ὅ 21. || 235 **ὄρεσσι**-ὄρεσι 19. || 236 **ῥά** ep.-ἄρα. | **ἑ** ep.-αὐτό. || 237 **μίν** ep.-αὐτό. | **υἷες** ep.-υἱοί. || 238 **παλάμῃς**-παλάμαις 8. | **φορέουσι**-φοροῦσι 32., **θέμιστας**, *νόμους, δίκας.* Hes. || 239 **εἰρύαται** ep.-εἰρυμένοι εἰσιν 27., *εἰς δικαιοσύνην παρακαλεῖ τοὺς ἄρχοντας, εἴγε τὸ δίκαιον ἐγχειρίζει αὐτοῖς ὁ Ζεύς, παραφθειρομένου δὲ αὐτοῦ δίκας δώσουσι Διΐ. ἢ ὅτι οὕπω νομογραφίας οὔσης ὁ λόγος τῶν βασιλέων νόμος ἦν.* | **τοί** ep.-σοί. | **ἔσσεται** ep.-ἔσται. || 240 **Ἀχιλλῆος**-Ἀχιλλέως 17. | **ἵξεται** ep.-ἱκνεῖται. | **υἷας** ep.-υἱούς. || 241 **δυνήσεαι**-δυνήσῃ 25. | **ἀχνύμενος,** *λυπούμενος.* Hes. || 242 **εὖτ' ἄν** ep.-ὅταν. | **ἀνδροφόνοιο**-ἀνδροφόνου 13. || 243 **θνήσκοντες πίπτωσι,** *ἀναστροφὴ ὁ τρόπος.* || 244 **χωόμενος**-χώμενος 32. | **ὅ τ'** ep.-ὅτι || 245 **φάτο** ep.-ἔφη 29. | **ποτί**, ep.-πρός. | **βάλε**-ἔβαλε 29. | **γαίῃ**, *γῇ.*, *νῦν μὲν τὸν Ἀχιλλέα, ἐν δὲ τῇ Ὀδυσσείᾳ (II. 80–1) τὸν Τηλέμαχον ποιῶν τὸ σκῆπτρον ἀποτιθεμένους, ἐπ' ἐκείνου μὲν καὶ πλῆθος ἐξέχεε δακρύων (καὶ γὰρ νεώτερος, καὶ αἱ συμφοραὶ δειναί). ὁ δὲ Ἀχιλλεὺς οὐ μάλα ὀλοφύρεται· οὔτε γὰρ ὁμοίως νέος, καὶ περὶ γυναικὸς ἡ μάχη . . . ὁ θυμὸς τὰ μετὰ χεῖρας ἐχόμενα ῥίπτει.* ||

χρυσείοις ἥλοισι πεπαρμένον, ἕζετο δ' αὐτός·
Ἀτρεΐδης δ' ἐτέρωθεν ἐμήνιε· τοῖσι δὲ Νέστωρ
ἡδυεπὴς ἀνόρουσε λιγὺς Πυλίων ἀγορητής,
τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή·
τῷ δ' ἤδη δύο μὲν γενεαὶ μερόπων ἀνθρώπων
ἐφθίαθ', οἵ οἱ πρόσθεν ἅμα τράφεν ἠδ' ἐγένοντο
ἐν Πύλῳ ἠγαθέῃ, μετὰ δὲ τριτάτοισιν ἄνασσεν·
ὅ σφιν ἐὺ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
ὦ πόποι ἦ μέγα πένθος Ἀχαιΐδα γαῖαν ἱκάνει·
ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες
ἄλλοι τε Τρῶες μέγα κεν κεχαροίατο θυμῷ
εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοιϊν,
οἳ περὶ μὲν βουλὴν Δαναῶν, περὶ δ' ἐστὲ μάχεσθαι.
ἀλλὰ πίθεσθ'· ἄμφω δὲ νεωτέρω ἐστὸν ἐμεῖο·
ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν ἠέ περ ὑμῖν
ἀνδράσιν ὡμίλησα, καὶ οὔ ποτέ μ' οἵ γ' ἀθέριζον.
οὐ γάρ πω τοίους ἴδον ἀνέρας οὐδὲ ἴδωμαι,
οἷον Πειρίθοόν τε Δρύαντά τε ποιμένα λαῶν
Καινέα τ' Ἐξάδιόν τε καὶ ἀντίθεον Πολύφημον
Θησέα τ' Αἰγεΐδην, ἐπιείκελον ἀθανάτοισιν·

246 **χρυσείοις**-χρυσοῖς 3./14. | **ἥλοισι**-ἥλοις 12. || 247 **τοῖσι**-αὐτοῖς 12./21. || 248 **ἀνόρουσε** ep.-ἀνώρουσε 29. || 249 **τοῦ** ep.-οὗ 22. | **γλώσσης**-γλώττης 7. | **ῥέεν**-ἔρει 29./32., *«μέλιτος» διὰ τὸ πείθειν, «ῥέεν» δὲ διὰ τὸ ἀνεμπόδιστον. ἔοικε δὲ ἀποτείνεσθαι εἰς ἑαυτὸν ὁ κατὰ συλλογισμὸν ἔπαινος.* || 250 **τῷ**-αὐτῷ 21., **γενεαί**, *ἡ γενεὰ τριάκοντα ἔτη ἔχει· δύο οὖν γενεὰς πληρώσας εἰς τὴν τρίτην κατελέγετο, ὥστε δύο γενεαὶ ἀνθρώπων ἐφθάρησαν. οὐχ ὅτι δὲ ἀνθρώπους φησὶν ἀποθανεῖν, ἀλλὰ δύο περιοδικὰς γενεάς, τουτέστι τὰς καλουμένας δύο γενεὰς ἀνθρωπείας, ὡσεὶ ἔλεγε δύο τριακονταετίας. οὕτω δὲ ζώντων τινῶν τῶν σὺν αὐτῷ ἀνθρώπων, ὅμως αἱ γενεαὶ ἂν εἶεν ἐφθαρμέναι. αὐτὸς δὲ ναύαρχος ἦν τῶν ἐν τῇ τρίτῃ γενεᾷ γενομένων, οἳ ἦγον τὴν στρατεύσιμον ἡλικίαν.* | **μερόπων**, *ἄνθρωποι· διὰ τὸ μεμερισμένην ἔχειν τὴν ὄπα, ἤγουν τὴν φωνήν. ἢ ἀπὸ Μέροπος, τοῦ πατρὸς Φαέθοντος, Κῳάφου. λέγονται δὲ καὶ Κῷοι Μέροπες· καὶ ὄρνεά τινα, ὡς Ἀριστοτέλης.* || 251 **ἐφθίαθ**ο ep.-ἐφθιμένοι ἦσαν 27. | **οἵ** ep.-αὐτῷ. | **ἅμα,** *τὸ «ἅμα» ἐπὶ καιροῦ, τὸ ὁμοῦ ἐπὶ τόπου.* | **τράφεν**-ἐτράφησαν 29./24. || 252 **ἠγαθέῃ** ep.-ἠγαθέᾳ 10. | **τριτάτοισιν** ep.-τρίτοις 12., *τοῖς ἀπὸ τῆς αὐτοῦ γενέσεως τρίτην ἡλικίαν ἄγουσιν.* | **ἄνασσεν**-ἤνασσεν 29. || 253 **ὅ**-οὗτος 21. | **σφίν** ep.-αὐτοῖς. | **ἀγορήσατο**-ἠγορήσατο 29. | **μετέειπεν**-μετεῖπεν 3. || 254 **'Αχαιΐδα**-'Αχαΐδα 3. | **γαῖαν** ep.-γῆν. || 255 **κέν** ep.-ἄν. | **Πριάμοιο**-Πριάμου 13. || 256 **κέν** ep.-ἄν. | **κεχαροίατο** ep.-χαρείησαν 36. || 257 **σφῶϊν** ep.-σφῷν. | **πυθοίατο**-πύθοιντο 27. || 259 **πίθεσθε** ep.-πείσασθε. | **ἐμεῖο** ep.-ἐμοῦ. || 260 **ἠέ** ep.-ἤ. || 261 **οἵ**-αὐτοί 21. | **ἀθέριζον** ep.-ἠθέριζον 29., *ἀποδοκιμάζειν, ἀτιμάζειν.* Hes. || 262 **ἴδον**-εἶδον 29. | **ἀνέρας** ep.-ἄνδρας, *ἀπολογούμενος ὑπὲρ ὧν ἠλάττωσεν αὐτούς, οὐδὲ ἔσεσθαι τοιούτους λέγει, τοῖς γὰρ ἀποθανοῦσιν οὐδεὶς φθονεῖ, ἐπειδὴ τὸ ἀπὸν ἀνεμποδίστῳ εὐνοίᾳ τετίμηται. οὐ παρέθετο δὲ τὰ ἐν Πελοποννήσῳ πεπραγμένα ἑαυτῷ ἐν τῷ πρὸς Ἠλείους πολέμῳ· οὐ γὰρ οὕτω τὸν Ἀγαμέμνονα πείθειν προῃρεῖτο ὡς τὸν Ἀχιλλέα, ὃν εἶδε σπώμενον τὸ ξίφος. καλῶς οὖν ἀπὸ Θετταλικῶν παραινεῖ, ἐπεὶ κἀκείνοις περὶ γυναικῶν ἦν ἡ στάσις, ἵν' ἐξ ἑτοίμου τῷ μύθῳ τούτῳ πείσῃ αὐτόν.* || 263 **λαῶν**-λεῶν 11. || 265 **ἀθανάτοισιν**-ἀθανάτοις 12. ||

κάρτιστοι δὴ κεῖνοι ἐπιχθονίων τράφεν ἀνδρῶν·
κάρτιστοι μὲν ἔσαν καὶ καρτίστοις ἐμάχοντο
φηρσὶν ὀρεσκῴοισι καὶ ἐκπάγλως ἀπόλεσσαν.
καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθὼν
τηλόθεν ἐξ ἀπίης γαίης· καλέσαντο γὰρ αὐτοί·
καὶ μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ· κείνοισι δ' ἂν οὔ τις
τῶν οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι μαχέοιτο·
καὶ μέν μευ βουλέων ξύνιεν πείθοντό τε μύθῳ·
ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον·
μήτε σὺ τόνδ' ἀγαθός περ ἐὼν ἀποαίρεο κούρην,
ἀλλ' ἔα ὥς οἱ πρῶτα δόσαν γέρας υἱες Ἀχαιῶν·
μήτε σὺ Πηλείδη, θελ' ἐριζέμεναι βασιλῆϊ
ἀντιβίην, ἐπεὶ οὔ ποθ' ὁμοίης ἔμμορε τιμῆς
σκηπτοῦχος βασιλεύς, ᾧ τε Ζεὺς κῦδος ἔδωκεν.
εἰ δὲ σὺ καρτερός ἐσσι θεὰ δέ σε γείνατο μήτηρ,
ἀλλ' ὅ γε φέρτερός ἐστιν ἐπεὶ πλεόνεσσιν ἀνάσσει.
Ἀτρεΐδη σὺ δὲ παῦε τεὸν μένος· αὐτὰρ ἔγωγε
λίσσομ' Ἀχιλλῆϊ μεθέμεν χόλον, ὃς μέγα πᾶσιν
ἕρκος Ἀχαιοῖσιν πέλεται πολέμοιο κακοῖο.
Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων·

266 **κάρτιστοι** ep.-κράτιστοι. | **κεῖνοι** ep.-ἐκεῖνοι. | **τράφεν**-ἐτράφησαν 24./29. || 267 **κάρτιστοι** ep.-κράτιστοι. | **ἔσαν** ep.-ἦσαν. | **καρτίστοις** ep.-κρατίστοις. || 268 **ὀρεσκῴοισι**-ὀρεσκῴοις 12. | **ἀπόλεσσαν**-ἀπώλεσαν 6./29., *κάρτιστοι μὲν οὗτοι τῶν ἀνδρῶν· ἐκεῖνοι δὲ κράτιστοι πρὸς τὰ λοιπὰ συγκρινόμενοι θηρία. ἐκ Στίλβης μὲν οὖν τῆς Πηνειοῦ κόρης καὶ Ἀπόλλωνος γέγονε Λαπίθης, ἀφ' οὗ Λαπίθαι. ἑξήκοντα δὲ τοὺς ἐπισημοτάτους αὐτῶν καταλέγει Πορφύριος. οἱ δὲ Κένταυροι κατὰ μὲν τοὺς ποιητὰς λέγονται Ἰξίονος καὶ Νεφέλης· τινὲς δὲ Δουλίδι Ἰξίονα μιγῆναι, ἅμα δὲ καὶ Πήγασον τὸν πτερωτὸν κατὰ τὴν αὐτὴν νύκτα, ἐξ ὧν γενέσθαι Κένταυρον, ἀφ' οὗ πολὺ πλῆθος γίνεται. ὁ δὲ Χείρων δοκεῖ ἐκ Κρόνου γεγενῆσθαι. ἀσελγεῖς δὲ λίαν γεγόνασιν. ἐκ Φολόης δὲ αὐτοὺς Ἡρακλῆς ἐδίωξεν· εἶτα ἦκον εἰς τὸ Πήλιον.* || 269 **τοῖσι** ep.-αὐτοῖς 21. | **μεθομίλεον** ep.-μεθωμίλουν 29./32., *οὐκ εἶπεν ἐπεκούρουν οὐδὲ συνεμάχουν· οὐ γὰρ ἂν αὐτοῖς συνεμάχει μὴ ὢν καὶ παρόμοιος.* || 270 **ἀπίης**-ἀπίας 10., *ἀντὶ ἀπούσης, τῆς πόρρωθεν οὔσης, ἐκ τοῦ ἴημι.* | **γαίης** ep.-γῆς. | **καλέσαντο**-ἐκαλέσαντο 29., *δόξης ἕνεκεν τοῦτό φησιν, ὅτι μετεπέμψαντο καὶ οὕτως ἦκεν.* || 271 **μαχόμην**-ἐμαχόμην 29. | **ἔμ' αὐτόν** ep.-ἐμαυτόν, *οὕτως κατὰ παράθεσιν ἐν δύο ἐμὲ αὐτόν· σύνθετος γὰρ ἀντωνυμία παρὰ τῷ ποιητῇ οὐκ ἔστιν.* | **κείνοισι** ep.-ἐκείνοις 12., *Κενταύροις.* || 272 **τῶν**-τούτων 21. | **μαχέοιτο** ep.-μάχοιτο 3. || 273 **μεῦ** ep.-ἐμοῦ 14. | **βουλέων**-βουλῶν 8. | **ξύνιεν**-ξυνίεσαν 24. | **πείθοντο**-ἐπείθοντο 29. || 274 **πίθεσθε** ep.-πείσασθε. | **ὔμμες** ep.-ὑμεῖς. || 275 **ἐὼν**-ὤν 32. | **τόνδ' ... ἀποαίρεο** ep.-ἀφαιροῦ, *ἀρχαϊκῶς «τόνδε» ἀφαιροῦ, ἀντὶ «τοῦδε». . . προκαταστέλλει δὲ τὸν θυμὸν διὰ τοῦ «ἀγαθός», ὅ ἐστι μὴ θελήσῃς ἀνάξια σαυτοῦ ποιεῖν. τὸ δὲ «ἀποαίρεο» Ἀττικόν.* | **κούρην**-κόρην 4. || 276 **οἳ** ep.-αὐτῷ. | **δόσαν**-ἔδοσαν 29. | **υἱες** ep.-υἱοί. || 277 **ἐριζέμεναι**-ἐρίζειν 33. | **βασιλῆι**-βασιλεῖ 17. || 278 **ἀντιβίην** ep.-ἀντιβίαν 10. | **ὁμοίης**-ὁμοίας 10. | **ἔμμορε**, *ἔτυχεν, ἔλαχεν, ἐκλήρωσεν.* || 280 **ἐσσί** ep.-εἶ. | **γείνατο** ep.-ἐγείνατο 29. || 281 **ὅ**-οὗτος 21. | **πλεόνεσσιν** ep.-πλειόνεσιν 19. || 282 **τεόν** ep.-σόν. || 283 **Ἀχιλλῆι**-Ἀχιλλεῖ 5./17. | **μεθέμεν**-μεθεῖναι 33. || 284 **Ἀχαιοῖσιν**-Ἀχαιοῖς 12. | **πολέμοιο κακοῖο**-πολέμου κακοῦ 13., *ὑφοῖ δὲ Ἀχιλλέα ὡς δίχα αὐτοῦ οὐδὲν ὄντων τῶν ἄλλων Ἀχαιῶν.* || 285 **τόν**-αὐτόν 21. ||

ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπες·
ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι ἄλλων,
πάντων μὲν κρατέειν ἐθέλει, πάντεσσι δ' ἀνάσσειν,
πᾶσι δὲ σημαίνειν, ἅ τιν' οὐ πείσεσθαι ὀΐω·
εἰ δέ μιν αἰχμητὴν ἔθεσαν θεοὶ αἰὲν ἐόντες
τοὔνεκά οἱ προθέουσιν ὀνείδεα μυθήσασθαι;
Τὸν δ' ἄρ' ὑποβλήδην ἠμείβετο δῖος Ἀχιλλεύς·
ἦ γάρ κεν δειλός τε καὶ οὐτιδανὸς καλεοίμην
εἰ δὴ σοὶ πᾶν ἔργον ὑπείξομαι ὅττί κεν εἴπῃς·
ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο, μὴ γὰρ ἔμοιγε
σήμαιν'· οὐ γὰρ ἔγωγ' ἔτι σοὶ πείσεσθαι ὀΐω.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·
χερσὶ μὲν οὔ τοι ἔγωγε μαχήσομαι εἵνεκα κούρης
οὔτε σοὶ οὔτέ τῳ ἄλλῳ, ἐπεί μ' ἀφέλεσθέ γε δόντες·
τῶν δ' ἄλλων ἅ μοί ἐστι θοῇ παρὰ νηῒ μελαίνῃ
τῶν οὐκ ἄν τι φέροις ἀνελὼν ἀέκοντος ἐμεῖο·
εἰ δ' ἄγε μὴν πείρησαι ἵνα γνώωσι καὶ οἵδε·
αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ δουρί.
Ὣς τὼ γ' ἀντιβίοισι μαχεσσαμένω ἐπέεσσιν
ἀνστήτην, λῦσαν δ' ἀγορὴν παρὰ νηυσὶν Ἀχαιῶν·
Πηλεΐδης μὲν ἐπὶ κλισίας καὶ νῆας ἐΐσας
ἤϊε σύν τε Μενοιτιάδῃ καὶ οἷς ἑτάροισιν·
Ἀτρεΐδης δ' ἄρα νῆα θοὴν ἅλα δὲ προέρυσσεν,

286 **ἔειπες**-εἶπες 3. ‖ 287 **περί** … **ἔμμεναι**-περιεῖναι 20./33. ‖ 288 **κρατέειν**-κρατεῖν 32. | **πάντεσσι** ep.-πᾶσι 19., *ἴδιον τῶν θυμουμένων ἐπανακυκλοῦν τὰ αὐτά· οὐδέποτε γὰρ οἴονται ἱκανῶς εἰρηκέναι οἱ θυμούμενοι. καλεῖται δὲ τὸ σχῆμα ἐπιβολή, ἐν μιᾷ περιόδῳ ἀρχὰς πλείους ἐπιφερόμενον … ἐκτὸς εἰ μὴ τὸ κρατεῖν σημαίνει τὸ νικᾶν, ἄρχειν δὲ τὸ ἀνάσσειν, ἐπιτάσσειν δὲ τὸ σημαίνειν.* ‖ 290 **μίν** ep.-αὐτόν. | **αἰέν** ep.-ἀεί. | **ἐόντες**-ὄντες 32. ‖ 291 **τοὔνεκα**-τούτου ἕνεκα 2./21. | **οἱ** ep.-αὐτῷ. | **προθέουσιν** ep.-προτιθέασιν. | **ὀνείδεα**-ὀνείδη 18., *τοῦ δευτέρου στίχου (291.) πευστικῶς ἀναγινωσκομένου γίνεται ὁ λόγος τοιοῦτος· εἰ δὲ πολεμικὸν αὐτὸν ἐποίησαν οἱ θεοί, ἄρα ὀφείλει διὰ τοῦτο ἄλλοις ὀνειδίζειν.* ‖ 292 **τόν**-αὐτόν 21. | **ὑποβλήδην,** *ὑποβάλλων τὸν λόγον πρὶν σιωπῆσαι τὸν λέγοντα, ἄλλοι ὑπολαμβάνων.* Hes. ‖ 293 **κέν** ep.-ἄν. | **καλεοίμην**-καλοίμην 32. ‖ 294 **ὅττι**-ὅ τι 6. | **κέν** ep.-ἄν. ‖ 295 **ἄλλοσιν**-ἄλλοις 12. | **ἐπιτέλλεο**-ἐπιτέλλου 25. ‖ 297 **τοί** ep.-σοί. | **ἐρέω**-ἐρῶ 32. | **ἐνί** ep.-ἐν. | **βάλλεο**-βάλλου 25. | **σῇσι**-σαῖς 8. ‖ 298 **μαχήσομαι** ep.-μαχοῦμαι. | **εἵνεκα**-ἕνεκα 3. | **κούρης**-κόρης 4. ‖ 299 **ἀφέλεσθε**-ἀφείλεσθε 29., *ἔργῳ δὲ κοινωνεῖ εἰς ἅπαντας, τὴν αἰτίαν τῆς ἀφαιρέσεως ἀγνοῶν.* ‖ 301 **τῶν**-τούτων 21. | **ἀέκοντος** ep.-ἄκοντος. | **ἐμεῖο** ep.-ἐμοῦ. ‖ 302 **εἰ δ' ἄγε**, *εἰ δὲ βούλει, ἄγε.* | **γνώωσι**-γνῶσι 3. ‖ 303 **τοί** ep.-σοί. | **δουρί** ep.-δόρατι., **ἐρωήσει,** *παρὰ τὴν ἐρωήν, ὁρμήσει. ἐναργῶς δὲ πεφάνταστα τὸ περὶ τὸ δόρυ μεθ' ὁρμῆς ἐκχεόμενον αἷμα. καὶ ταύτας ἐμψύχους ἔλεγεν εἶναι παρ' αὐτῷ τὰς λέξεις Ἀριστοτέλης.* ‖ 304 **τώ**-αὐτώ 21. | **ἀντιβίοισι** ep.-ἀντιβίοις, *ἐξ ἐναντίας.* Hes. | **μαχεσσαμένω** ep.-μαχησαμένω 6. | **ἐπέεσσιν**-ἔπεσιν 3./19. ‖ 305 **ἀνστήτην**-ἀνεστήτην 29. | **λῦσαν**-ἔλυσαν 29. | **ἀγορήν**-ἀγοράν 10. | **νηυσίν**-ναυσίν 16. ‖ 306 **νῆας**-ναῦς 16. ‖ 307 **ἤϊε** ep.-ᾔει. | **ἤϊε σύν τε Μενοιτιάδῃ,** *εἰκότως τῷ Ἀχιλλεῖ θυμικῷ ὄντι ἥπιος ὢν Πάτροκλος πάρεστι πρὸς τὸ τὸν θυμὸν αὐτοῦ μαλάσσειν.* | **οἷς ἑτάροισιν** ep.-ἑταίροις αὐτοῦ 12. ‖ 308 **νῆα**-ναῦν 16. | **προέρυσσεν**-προείρυσεν 6./29. ‖

ἔν δ' ἐρέτας ἔκρινεν ἐείκοσιν, ἕς δ' ἑκατόμβην
βῆσε θεῷ, ἀνὰ δὲ Χρυσηΐδα καλλιπάρῃον
εἷσεν ἄγων· ἔν δ' ἀρχὸς ἔβη πολύμητις Ὀδυσσεύς.
Οἳ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλευθα,
λαοὺς δ' Ἀτρεΐδης ἀπολυμαίνεσθαι ἄνωγεν·
οἳ δ' ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματα βάλλον,
ἔρδον δ' Ἀπόλλωνι τελησσάσας ἑκατόμβας
ταύρων ἠδ' αἰγῶν παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο·
κνίση δ' οὐρανὸν ἶκεν ἑλισσομένη περὶ καπνῷ.
Ὣς οἳ μὲν τὰ πένοντο κατὰ στρατόν· οὐδ' Ἀγαμέμνων
λῆγ' ἔριδος τὴν πρῶτον ἐπηπείλησ' Ἀχιλῆϊ,
ἀλλ' ὅ γε Ταλθύβιόν τε καὶ Εὐρυβάτην προσέειπε,
τώ οἱ ἔσαν κήρυκε καὶ ὀτρηρὼ θεράποντε·
ἔρχεσθον κλισίην Πηληϊάδεω Ἀχιλῆος·
χειρὸς ἑλόντ' ἀγέμεν Βρισηΐδα καλλιπάρῃον·
εἰ δέ κε μὴ δώῃσιν ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
ἐλθὼν σὺν πλεόνεσσι· τό οἱ καὶ ῥίγιον ἔσται.
Ὣς εἰπὼν προΐει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε·
τὼ δ' ἀέκοντε βάτην παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο,
Μυρμιδόνων δ' ἐπί τε κλισίας καὶ νῆας ἱκέσθην,
τὸν δ' εὗρον παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
ἥμενον· οὐδ' ἄρα τώ γε ἰδὼν γήθησεν Ἀχιλλεύς.

309 **ἔν** ... **ἔκρινεν**-ἐνέκρινεν 20. | **ἐείκοσιν**-εἴκοσιν 3. | **ἐς** ... **βῆσε** ep.-εἰσέβησε 20./29. || 310 **καλλιπάρῃον** ep.-καλλιπάρειον 3. || 311 **εἷσεν** ep.-ἧκε. | **ἐν** ... **ἔβη**-ἐνέβη 20. || 313 **λαούς**-λεώς 11. | **ἄνωγεν**-ἤνωγεν 29. || 314 **βάλλον**-ἔβαλλον 29., *ἀπεκαθαίροντο καὶ εἰς τὴν θάλατταν τὰ περιττώματα καὶ καθάρματα ἔβαλλον ... φύσει γὰρ τὸ ὕδωρ τῆς θαλάσσης καθαρτικόν.* | **λύματα,** *τὰ ῥυπάσματα τοῦ σώματος. τὰ γὰρ τῆς νόσου, τουτέστι τὰ καθάρματα.* Hes. || 316 **ἀτρυγέτοιο** ep.-ἀτρυγέτου 13., *ἀκάρπου ἀβύσσου καὶ ἀπείρου.* Hes. || 317 **κνίση** ep.-κνῖσα., **ἑλισσομένη περὶ καπνῷ,** *ὑπ' ὄψιν ἤγαγεν ἅμα τῷ μέλανι τοῦ καπνοῦ συναναμισγομένην τὴν λευκότητα τῆς πιμελῆς φανταστικῶς.* || 318 **τά**-ταῦτα 21. | **πένοντο** ep.-ἐπένοντο 29. || 319 **λῆγε**-ἔληγε 29. | **τήν**-ἥν 21. | **Ἀχιλῆι**-Ἀχιλλεῖ 5./17. || 320 **ὅ**-αὐτός 21. | **προσέειπε**-προσεῖπε 3. || 321 **τώ**-ὥ 21. | **οἱ** ep.-αὐτῷ. | **ἔσαν** ep.-ἦσαν. || 322 **κλισίην**-κλισίαν 10. | **Πηληϊάδεω**-Πηλείδου 3./13. | **Ἀχιλῆος**-Ἀχιλλέως 5./17. || 323 **ἀγέμεν**-ἄγειν 33., *ἀντὶ προστακτικοῦ τοῦ ἄγε.* | **καλλιπάρῃον** ep.-καλλιπάρειον 3., *βασιλικὸν τὸ ἀπόλυτον τῆς φράσεως καὶ τὸ δι' ἄλλων πειρᾶσθαι καὶ οὕτως ἐπιχειρεῖν. ὑβριστικὸν δὲ καὶ τοῦτο· οὐ γὰρ ἐντυχεῖν Ἀχιλλεῖ κελεύει, ἀλλ' ὡς κενῆς οὔσης τῆς νεὼς ἄγειν αὐτήν.* || 324 **εἰ** ... **κέ** ep.-ἐάν. | **δώῃσιν** ep.-δῷ 23. | **κέν** ... **ἕλωμαι** 38. || 325 **πλεόνεσσιν** ep.-πλειόνεσι 19. | **τό**-ὅ 21. | **οἱ** ep.-αὐτῷ. || 326 **προΐει,** *ἀντὶ τοῦ συνεχῶς ἐπέταττεν.* | **κρατέρον** ep.-καρτέρον. | **ἐπί** ... **ἔτελλε**-ἐπέτελλε 20. || 327 **τώ**-ὥ 21. | **ἀέκοντε**-ἄκοντε 3. | **βάτην**-ἐβάτην 29., *εἰκότως· καὶ τὸν Ἀγαμέμνονα γὰρ δεδοίκασι καὶ πρὸς ὃν ἀποστέλλονται.* | **ἀτρυγέτοιο** ep.-ἀτρυγέτου 13. || 328 **νῆας**-ναῦς 16. || 329 **τόν**-αὐτόν 21. | **κλισίῃ**-κλισίᾳ 10. | **νηῒ μελαίνῃ,** *διὰ τῆς μελαίνης νηὸς τὸ σκυθρωπὸν τῆς ἕδρας δηλοῖ.* || 330 **τώ**-αὐτώ 21. | **γήθησεν**-ἐγήθησεν 29., *ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον ἀκουστέον· οὐκ ἐγήθησεν, ἀλλ' ἐλυπήθη ... ὁ τρόπος ἀντίφρασις.* ||

τὼ μὲν ταρβήσαντε καὶ αἰδομένω βασιλῆα
στήτην, οὐδέ τί μιν προσεφώνεον οὐδ' ἐρέοντο·
αὐτὰρ ὃ ἔγνω ᾗσιν ἐνὶ φρεσὶ φώνησέν τε·
χαίρετε κήρυκες Διὸς ἄγγελοι ἠδὲ καὶ ἀνδρῶν,
ἆσσον ἴτ'· οὔ τί μοι ὔμμες ἐπαίτιοι ἀλλ' Ἀγαμέμνων,
ὃ σφῶϊ προΐει Βρισηΐδος εἵνεκα κούρης.
ἀλλ' ἄγε διογενὲς Πατρόκλεες ἔξαγε κούρην
καί σφωϊν δὸς ἄγειν· τὼ δ' αὖτὸ μάρτυροι ἔστων
πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων
καὶ πρὸς τοῦ βασιλῆος ἀπηνέος εἴ ποτε δ' αὖτε
χρειὼ ἐμεῖο γένηται ἀεικέα λοιγὸν ἀμῦναι
τοῖς ἄλλοις· ἦ γὰρ ὅ γ' ὀλοιῇσι φρεσὶ θύει,
οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω,
ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο Ἀχαιοί.
Ὣς φάτο, Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ,
ἐκ δ' ἄγαγε κλισίης Βρισηΐδα καλλιπάρῃον,
δῶκε δ' ἄγειν· τὼ δ' αὖτις ἴτην παρὰ νῆας Ἀχαιῶν·

331 **τώ**-τούτω 21. | **ταρβήσαντε καὶ αἰδομένω,** *δύο δὲ ταῦτα συμβαίνειν περὶ τοὺς χρηστοὺς ἀεὶ ὁ ποιητής φησιν, αἰδῶ καὶ φόβον.* | **βασιλῆα**-βασιλέα 17. || 332 **στήτην**-ἐστήτην 29. | **μίν** ep.-αὐτόν. | **προσεφώνεον**-προσεφώνουν 32. | **ἐρέοντο**-ἐροῦντο 32., *τὸ μὲν γὰρ εἰπεῖν τι παροξυντικόν, τὸ δὲ θωπεῦσαι δουλοπρεπές. πρῶτος δὲ Ὅμηρος πρόσωπα κωφὰ παρήγαγεν εἰς τὴν τραγῳδίαν.* || 333 **ὅ**-αὐτός 21. | **ᾗσιν** … **φρεσί** ep.-φρεσί αὐτοῦ. | **ἐνί** ep.-ἐν. | **φώνησεν**-ἐφώνησεν 29. || 334 **Διὸς ἄγγελοι,** *ἢ ὅτι τὰς ἑορτὰς αὐτοῦ ἀγγέλλουσιν, ἢ ὅτι ἀπὸ Ἑρμοῦ εἰσιν, ὃς ἄγγελος Διός. καλῶς δὲ οὐκ Ἀγαμέμνονος ἔφη, ἀλλ' ἀνδρῶν καὶ Διός, οἷς δικαίως ὑπηρετοῦσι· τούτῳ γὰρ ἀδίκως. κοινὸς δὲ νόμος μὴ ἀδικεῖσθαι κήρυκα· ἱεροὶ γὰρ οὗτοι καὶ τὰ πρὸς θυσίαν ἑτοιμάζοντες.* || 335 **ὔμμες** ep.-ὑμεῖς. | **ἐπαίτιοι,** *πεπαιδευμένως· οὐ γὰρ δεῖ τὰς αἰτίας ἐφ' ἑτέρους μετάγειν ὡς κύνα κατὰ τοῦ βεβλημένου λίθου.* || 336 **ὅ**-ὅς 21. | **σφῶι** ep.-σφώ. | **εἵνεκα**-ἕνεκα 3. | **κούρης**-κόρης 4. || 337 **κούρην**-κόρην 4., **Πατρόκλεες** ep.-Πατρόκλεις, *ἐξαίρει πάλιν τὸ πρόσωπον· τοῖς γὰρ τῶν φίλων γνησιωτάτοις εἰώθαμεν πιστεύειν τὰ γύναια.* || 338 **καὶ σφωϊν**-καὶ αὐτοῖν | **τώ**-τούτω 21. | **μάρτυροι ἔστων,** *μαρτύρεται τὸν κήρυκε, ὅπως μὴ δοκῇ προδότης εἶναι ὑπερορῶν τοὺς Ἀχαιοὺς ἀναιρουμένους. τὰ δὲ ἄλλα οὐχ ἅπτεται Ἀγαμέμνονος, ὅπως μὴ δοκῇ μικροφυχεῖν ἐπὶ τῇ ἀφαιρέσει.* || 340 **βασιλῆος**-βασιλέως 17. | **ἀπηνέος**-ἀπηνοῦς 18., *«ἀναιδέος», εὐεπίφορον γὰρ εἶναι (sc. φησί) τὸν Ἀχιλλέα εἰς τὸ ἀναιδῆ καλεῖν τὸν Ἀγαμέμνονα.* || 341 **χρειώ**-χρέω 3. | **ἐμεῖο** ep.-ἐμοῦ. | **ἀεικέα**-ἀεικῆ 18. || 342 **ὅ**-αὐτός 21. | **ὀλοιῇσι** ep.-ὀλοιαῖς 8. | **φρεσὶ θύει,** *ἐμφαντικῶς τὸ λυσσῶδες αὐτοῦ καὶ ἄλογον παρέστησε. μάρτυρας οὖν ὑμᾶς σχήσω τῆς παραπληξίας αὐτοῦ, ὅτι οὐκ οἶδε προνοῆσαι στρατιᾶς.* || 343 **πρόσσω καὶ ὀπίσσω**-πρόσω καὶ ὀπίσω 6., *δεῖ γὰρ τὸν ὅλως ἔχοντα γνῶσιν μὴ τὰ παρόντα μόνον, ἀλλὰ καὶ τὰ μέλλοντα σκοπεῖν.* || 344 **ὅππως**-ὅπως 6. | **νηυσί**-ναυσί 16. | **σόοι** ep.-σῷ. | **μαχέοιντο** ep.-μάχοιντο 3. || 345 **φάτο** ep.-ἔφη 29. | **Πάτροκλος δὲ φίλῳ ἐπεπείθεθ' ἑταίρῳ,** *τὸ ἥπιον αὐ τοῦ διὰ τῆς σιωπῆς τῆς νῦν τε κἂν ὅλῃ τῇ στάσει κἂν τῷ μηνιθμῷ δείκνυται. καὶ νῦν δὲ οὐ φθέγγεται, ἵνα μὴ ᾖ παροξυντικός.* || 346 **ἐκ** … **ἄγαγε**-ἐξήγαγε 20./29. | **κλισίης**-κλισίας 10. | **καλλιπάρῃον** ep.- καλλιπάρειον 3. || 347 **δῶκε**-ἔδωκε 29. | **νῆας**-ναῦς 16., **αὖτις** ep.-αὖθις. ||

ἦ δ' ἀέκουσ' ἄμα τοῖσι γυνὴ κίεν· αὐτὰρ Ἀχιλλεὺς
δακρύσας ἑτάρων ἄφαρ ἕζετο νόσφι λιασθείς,
θῖν' ἔφ' ἁλὸς πολιῆς, ὁρόων ἐπ' ἀπείρονα πόντον·
πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς·
μῆτερ ἐπεί μ' ἔτεκές γε μινυνθάδιόν περ ἐόντα,
τιμήν πέρ μοι ὄφελλεν Ὀλύμπιος ἐγγυαλίξαι
Ζεὺς ὑψιβρεμέτης· νῦν δ' οὐδέ με τυτθὸν ἔτισεν·
ἦ γάρ μ' Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
Ὣς φάτο δάκρυ χέων, τοῦ δ' ἔκλυε πότνια μήτηρ
ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι·
καρπαλίμως δ' ἀνέδυ πολιῆς ἁλὸς ἠΰτ' ὀμίχλη,
καί ῥα πάροιθ' αὐτοῖο καθέζετο δάκρυ χέοντος,
χειρί τέ μιν κατέρεξεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
τέκνον τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.
Τὴν δὲ βαρὺ στενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
οἶσθα· τί ἤ τοι ταῦτα ἰδυίῃ πάντ' ἀγορεύω;

348 **ἀέκουσα**-ἄκουσα 3., *ἔστι γὰρ φίλανδρος, ὡς τὸ πρόσωπον δηλοῖ.* | **τοῖσι**-αὐτοῖς 12./21. | **κίεν** ep.-ἔκιεν 29. || 349 **δακρύσας,** *ἕτοιμον τὸ ἡρωϊκὸν πρὸς δάκρυα . . . καὶ ἡ παροιμία «ἀεὶ δ' ἀριδάκρυες ἀνέρες ἐσθλοί».* | **ἑτάρων** ep.-ἑταίρων. | **νόσφι,** *ὅπως μὴ γελῷτο παρὰ τῶν ἑταίρων. ἢ τὴν διάλεξιν τῆς μητρός.* || 350 **πολιῆς**-πολιᾶς 10. | **ὁρόων** ep.-ὁρῶν 32. || 351 **χεῖρας ὀρεγνύς,** *ὥσπερ ἀσπαζόμενος ὀρέγει τὼ χεῖρε τῇ μητρί.* || 352 **μινυνθάδιον,** *τοῦτο μάλιστα δύναται λυπῆσαι μητέρα ὀλιγοχρόνιος υἱός· ὃ πρῶτον προβάλλεται.* | **ἐόντα**-ὄντα 32. || 353 **ὄφελλεν** ep.-ὤφειλεν 29., *ὄφελλεν Αἰολικῶς, ὡς χεῖρες χέρρες.* | **ἐγγυαλίξαι**, *ἐγχειρίσαι, δοῦναι εἰς χεῖρας· ἐπειδὴ κοῖλα γύαλα λέγεται. ὃ δὲ λαμβάνων τὴν κύλικα, τῇ χειρὶ κοίλῃ ταύτην λαμβάνει. καλοῦνται δὲ «γυῖα» αἱ χεῖρες.* Hes. || 354 **ὑψιβρεμέτης,** *ὁ ἐν ὕψει βρέμων διὰ τῶν βροντῶν ἢ τῶν ἀνέμων.* | **οὐδέ με τυτθόν,** *φιλεγκλήμονες κατὰ θεῶν οἱ ἀτυχεῖς.* || 357 **φάτο** ep.-ἔφη 29. | **τοῦ**-αὐτοῦ 21. || 358 **βένθεσσιν**-βένθεσι 19. | **πατρὶ γέροντι,** *ἴσως τοὺς ἐν θαλάσσῃ τιμωμένους ἁλίους γέροντάς φησιν, ὡς Πρωτέα Φόρκυνα Νηρέα.* || 359 **καρπαλίμως,** *ἀντὶ τοῦ κραιπνῶς. ταχεῖα δὲ ἡ ἄνοδος ὡς μητρὸς καὶ θεοῦ. φαντασία δὲ περίκειται τῇ θεῷ διὰ τῆς ὁμίχλης. ἢ ὅτι θαλασσία ἐστὶν ἡ θεός.* | **πολιῆς**-πολιᾶς 10. || 360 **ῥά**-ἄρα 1. | **αὐτοῖο**-αὐτοῦ 13. | **καθέζετο**-ἐκαθέζετο 29. || 361 **μίν** ep.-αὐτόν. | **ἐκ . . . ὀνόμαζε**-ἐξουνόμαζε 20./29. || 363 **ἐξαύδα,** *τῇ γὰρ τῶν λόγων <μὴ> ἀνοχῇ καὶ κουφιεῖται τοῦ βάρους ἡ ψυχή.* | **νόῳ**-νῷ 14. | **εἴδομεν**-εἴδωμεν 28. || 364 **τήν**-αὐτήν 21. || 365 **οἶσθα,** *ἄκρως ἐνέφηνε τὸ βαρύθυμον διὰ τοῦ προοιμίου καὶ πρὸς εἰδότας δὲ ἔθος λέγειν ἐπικουφίζοντας τὴν ὀδύνην.* | **τοί** ep.-σοί. | **ἰδυίῃ** ep.-εἰδυίῃ. ||

ὠχόμεθ' ἐς Θήβην ἱερὴν πόλιν Ἠετίωνος,
τὴν δὲ διεπράθομέν τε καὶ ἤγομεν ἐνθάδε πάντα·
καὶ τὰ μὲν εὖ δάσσαντο μετὰ σφίσιν υἷες Ἀχαιῶν,
ἐκ δ' ἔλον Ἀτρεΐδῃ Χρυσηΐδα καλλιπάρῃον.
Χρύσης δ' αὖθ' ἱερεὺς ἑκατηβόλου Ἀπόλλωνος
ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν χαλκοχιτώνων
λυσόμενός τε θύγατρα φέρων τ' ἀπερείσι' ἄποινα,
στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Ἀπόλλωνος
χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ λίσσετο πάντας Ἀχαιούς,
Ἀτρεΐδα δὲ μάλιστα δύω κοσμήτορε λαῶν.
ἔνθ' ἄλλοι μὲν πάντες ἐπευφήμησαν Ἀχαιοὶ
αἰδεῖσθαί θ' ἱερῆα καὶ ἀγλαὰ δέχθαι ἄποινα·
ἀλλ' οὐκ Ἀτρεΐδῃ Ἀγαμέμνονι ἤνδανε θυμῷ,
ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε·
χωόμενος δ' ὅ γέρων πάλιν ὤχετο· τοῖο δ' Ἀπόλλων
εὐξαμένου ἤκουσεν, ἐπεὶ μάλα οἱ φίλος ἦεν,
ἧκε δ' ἐπ' Ἀργείοισι κακὸν βέλος· οἱ δέ νυ λαοὶ
θνῄσκον ἐπασσύτεροι, τὰ δ' ἐπῴχετο κῆλα θεοῖο
πάντῃ ἀνὰ στρατὸν εὐρὺν Ἀχαιῶν· ἄμμι δὲ μάντις
εὖ εἰδὼς ἀγόρευε θεοπροπίας ἑκάτοιο.
αὐτίκ' ἐγὼ πρῶτος κελόμην θεὸν ἱλάσκεσθαι·
Ἀτρεΐωνα δ' ἔπειτα χόλος λάβεν, αἶψα δ' ἀναστὰς
ἠπείλησεν μῦθον ὃ δὴ τετελεσμένος ἐστί·
τὴν μὲν γὰρ σὺν νηῒ θοῇ ἑλίκωπες Ἀχαιοὶ
ἐς Χρύσην πέμπουσιν, ἄγουσι δὲ δῶρα ἄνακτι·

366 **ἐς** ep.-εἰς. | **ὠχόμεθ' ἐς Θήβην,** *ὁ τρόπος ἀνακεφαλαίωσις. τέσσαρες δὲ διηγήσεων ἰδέαι· ἡ μὲν ὁμιλητική, ὡς ὅταν παρά τινος ἀκούσας τις αὐτῷ διηγῆται ἃ ἤκουσεν, ὡς τὸ «πολλάκι γὰρ σέο πατρός» (396). τὸ δὲ ἀπαγγελτικόν, ὅταν ἃ παρ' ἑτέρου ἤκουσεν ἑτέρῳ διηγῆται, τὸ δὲ ὑποστατικόν, ὅταν τῶν πραγμάτων τινὰ ἀπαγγεῖλαι ὑποθέμενοι διηγώμεθα, τὸ δὲ μικτὸν ἐξ ὁμιλητικοῦ καὶ ὑποστατικοῦ, ὡς τὸ «ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα, θεά, ὑπελύσαο δεσμῶν» (401), εἰ γὰρ ἦν ὁμιλητικόν, οὕτως ἂν εἶπεν· ἀλλὰ σὲ τῶν δεσμῶν αὐτὸν ἀπολῦσαι καλέσασαν τὸν ἑκατόγχειρον. ὁ δὲ ἐφ' ἑτέραν πτῶσιν μετελθὼν ὡς ἴδιον ἤδη λόγον καὶ οὐχ ὡς παρ' ἐκείνης ἀκούσας διέξεισιν.* | **Θήβην,** *Θήβη χωρίον ἔρημον πλησίον Λέσβου, ἀπὸ Θήβης τῆς Ἀδράμυος· ἆθλον γὰρ ταύτην ὁ πατὴρ προὔθετο τῷ προὔχοντι γυμνικῷ ἀγῶνι, λαβὼν δὲ αὐτὴν Ἡρακλῆς ἔκτισε τὴν πόλιν, ὀνομάσας ἐκ ταύτης. ὅσοι δὲ ἀθετοῦσι τοὺς στίχους (366–92), οὐκ ἐῶσιν ἡμᾶς μαθεῖν, ὅθεν ἦλω Χρυσηΐς.* | **ἱερήν**-ἱεράν 10. ‖ 367 **τήν**-ταύτην 21. ‖ 368 **δάσσαντο**-ἐδάσαντο 6./29. | **σφίσιν** ep.-ἑαυτοῖς. | **υἷες** ep.-υἱοί. ‖ 369 **ἐκ … ἔλον**-ἐξεῖλον 20./29. | **καλλιπάρῃον** ep.-καλλιπάρειον 3. ‖ 371 **νῆας**-ναῦς 16., **χαλκοχιτώνων,** *λαμπρὸν ἢ πορφυροῦν ἐχόντων χιτῶνας.* ‖ 372 **θύγατρα**-θυγατέρα 15. ‖ 374 **χρυσέῳ**-χρυσῷ 14. | **λίσσετο**-ἐλίσσετο 29. ‖ 375 **λαῶν**-λεῶν 11. ‖ 377 **ἱερῆα**-ἱερέα 17. | **δέχθαι** ep.-δέξασθαι. ‖ 379 **κρατερόν** ep.-καρτερόν. | **ἐπὶ … ἔτελλε** ep.-ἐπέτελλε 20. ‖ 380 **χωόμενος**-χώμενος 32. | **τοῖο**-αὐτοῦ 13./21. ‖ 381 **οἱ** ep.-αὐτῷ. | **ἦεν** ep.-ἦν. ‖ 382 **Ἀργείοισι**-Ἀργείοις 12. | **λαοί**-λεῴ 11. ‖ 383 **θνῄσκον**-ἔθνῃσκον 29. | **ἐπασσύτεροι,** *παρὰ τὸ ἄσσον ἀσσύτεροι, ὡς παροίτεροι ἢ ἑκάτεροι.* | **θεοῖο**-θεοῦ 13. ‖ 384 **ἄμμι** ep.-ἡμῖν. ‖ 385 **ἀγόρευε**-ἠγόρευε 29. | **ἑκάτοιο** ep.-ἑκάτου 13. ‖ 387 **κελόμην** ep.-ἐκελόμην 29. ‖ 388 **λάβεν**-ἔλαβεν 29. | **ὅ**-ὅς 21. ‖ 390 **ἐς** ep.-εἰς. ‖

τὴν δὲ νέον κλισίηθεν ἔβαν κήρυκες ἄγοντες
κούρην Βρισῆος τήν μοι δόσαν υἷες Ἀχαιῶν.
ἀλλὰ σὺ εἰ δύνασαί γε περίσχεο παιδὸς ἑῆος·
ἐλθοῦσ' Οὔλυμπον δὲ Δία λίσαι, εἴ ποτε δή τι
ἢ ἔπει ὤνησας κραδίην Διὸς ἠὲ καὶ ἔργῳ.
πολλάκι γάρ σεο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
εὐχομένης ὅτ' ἔφησθα κελαινεφέϊ Κρονίωνι
οἴῃ ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι
Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη·
ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα θεὰ ὑπελύσαο δεσμῶν,
ὤχ' ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν Ὄλυμπον,
ὃν Βριάρεων καλέουσι θεοί, ἄνδρες δέ τε πάντες

391 **κλισίηθεν** ep.-κλισίαθεν 10. | **ἔβαν**-ἔβησαν 24. ‖ 392 **κούρην**-κόρην 4. | **Βρισῆος**-Βρισέως 17., *ὁ δὲ τρόπος ἀντονομασία.* | **τήν**-ἥν 21. | **δόσαν**-ἔδοσαν 29. | **υἷες** ep.-υἱοί. ‖ 393 **εἰ δύνασαί γε,** *οὐ διστάζων, ἀλλὰ σχετλιάζων εἴ γέ σοι κἂν τοῦτο χαρίεῖται ὁ Ζεύς, ἅμα δὲ καὶ κολακεύων αὐτήν, ὅπως ἐρεθίσῃ πρὸς τὸ αἰτούμενον, καὶ τὴν ἰσχὺν ἐνδείξηται ὡς δῆθεν τοῦ παιδὸς ἀγνοοῦντος.* | **περίσχεο**-περισχοῦ 25. | **ἑῆος** ep.-σοῦ. ‖ 394 **Οὔλυμπον**-Ὄλυμπον 4. ‖ 395 **κραδίην** ep.-καρδίαν 10. | **ἠέ** ep.-ἤ. ‖ 396 **πολλάκι** ep.-πολλάκις. | **σέο** ep.-σοῦ. | **ἐνί** ep.-ἐν. | **μεγάροισιν**-μεγάροις 12. | **ἄκουσα**-ἤκουσα 29., *ὁ νοῦς οὕτως, πολλάκις γάρ σου ἐν τοῖς τοῦ ἐμοῦ πατρὸς δόμοις ἤκουσα εὐχομένης.* ‖ 397 **κελαινεφέϊ,** *παρὰ τὸ μελαίνοντα τὸν ἀέρα νείφειν αὐτόν .* ‖ 398 **οἴῃ** ep.-μόνη 10. | **ἀθανάτοισιν**-ἀθανάτοις 12. | **ἀεικέα**-ἀεικῆ 18. ‖ 399 **ὁππότε**-ὁπότε 6. | **μίν**-αὐτόν 21. ‖ 400 **Ἥρη**-Ἥρα 10. | **Ποσειδάων** ep.-Ποσειδῶν. | **Ἀθήνη** ep.-Ἀθηνᾶ., *τί ποτε ἄρα βουλόμενος ταῦτα ἔπλασε, πολὺ ἔχοντα τὸ ἄλογον καὶ ἀνάρμοστον, εἴ γε Ἀθηνᾶ καὶ Ἥρα καὶ Ποσειδῶν ἐβούλοντο συνδῆσαι τὸν Δία, ἡ μὲν θυγάτηρ οὖσα, οἱ δὲ ἀδελφοί; διὸ καὶ ἀντὶ τῆς Ἀθηνᾶς τινες γράφουσι «καὶ Φοῖβος Ἀπόλλων», ὥσπερ οὐ τοῦ αὐτοῦ μένοντος ἀτόπου. καὶ ἄλλοι πάλιν ἐναλλάσσουσι τὰ ἔπη· «οἴῃ ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι / Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη, / ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι» (398. 400. 399), ἵνα οὗτοι μὲν οἱ θεοὶ φαίνωνται βοηθήσαντες αὐτῷ μετὰ τῆς Θέτιδος, ἄλλοι δέ τινες οἱ ξυνδῆσαι θέλοντες· καὶ μύθους λέγουσιν ἐπὶ τούτοις πολλούς. μάχεται δὲ τοῖς ἐναλλάσσουσι τὰ ἔπη τὸ «οἴῃ ἐν ἀθανάτοισι» (398)· πῶς γὰρ τοῦ ποιητοῦ λέγοντος ὅτι μόνη, ἐνδέχεται καὶ ἄλλους ἐπεισάγειν βοηθούς; τίνα δὲ καὶ τὸν Βριάρεων χρὴ νοεῖν; καὶ πῶς οὗτος «βίῃ οὗ πατρὸς ἀμείνων» (404); – δεῖ τοίνυν φυσικόν τινα μᾶλλον ἐν τούτοις ὑπονοεῖν λόγον· Δία γάρ φησι τὴν ἄκρατον θερμασίαν, τὴν καὶ τοῦ ζῆν καὶ τοῦ εἶναι ἡμᾶς αἰτίαν, Ποσειδῶνα τὸ ὕδωρ, Ἥραν τὸν ἀέρα, Ἀθηνᾶν τὴν γῆν, Βριάρεων τὸν ἥλιον (πάντων γὰρ τῶν ἄστρων φωτεινότατός ἐστι), Θέτιν δὲ τὴν θέσιν καὶ φύσιν τοῦ παντός. τοῦ ἡλίου τοίνυν ἀφισταμένου ἐπὶ τὰ μεσημβρινά, φύξεως γινομένης ἐν τοῖς καθ' ἡμᾶς μέρεσι, συμβαίνει τὸν ἀέρα, φύσιν ἔχοντα μεταβάλλειν εἰς ὕδωρ, τότε μάλιστα ἐξυγραίνεσθαι πλέον καὶ δυσχείμερον γίνεσθαι. Ποσειδῶνα οὖν καὶ Ἥραν καὶ Ἀθηνᾶν διὰ τοῦτο βουλομένους συνδῆσαι τὸν Δία φησίν, ἐμφαίνων, ὡς ἔφην, τὴν χειμερινὴν κατάστασιν, ἐν ᾗ συμβαίνει τὸ ψυχρὸν ἐπικρατέστερον εἶναι τοῦ θερμοῦ. ἀλλ' ἡ Θέτις ἀνάγουσα τὸν ἥλιον ἐπὶ τὰ βόρεια φαίνεται ὥσπερ βοηθοῦσα τῷ Διΐ. εἰκότως δὲ ἑκατόγχειρον τοῦτόν φησιν, ὅτι πάντα τρέφει καὶ αὔξει καὶ φύει, καθάπερ πολλαῖς ὁμοῦ χερσὶν ἐργαζόμενος. «οὗ πατρὸς» δὲ «ἀμείνων», τοῦ Διός· Ἀπόλλωνα γάρ φησι τὸν ἥλιον.* ‖ 401 **τόν**-αὐτόν 21. | **ὑπελύσαο**-ὑπελύσω 25. ‖ 402 **ὤχ'**, *εὐθέως, ταχέως, ὠκέως, ὀξέως.* Hes. | **ἐς** ep.-εἰς. ‖ 403 **καλέουσι**-καλοῦσι 32. ‖

Αἰγαίων', ὃ γὰρ αὖτε βίην οὗ πατρὸς ἀμείνων·
ὅς ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων·
τὸν καὶ ὑπέδεισαν μάκαρες θεοὶ οὐδ' ἔτ' ἔδησαν.
τῶν νῦν μιν μνήσασα παρέζεο καὶ λαβὲ γούνων
αἴ κέν πως ἐθέλῃσιν ἐπὶ Τρώεσσιν ἀρῆξαι,
τοὺς δὲ κατὰ πρύμνας τε καὶ ἀμφ' ἅλα ἕλσαι Ἀχαιοὺς
κτεινομένους, ἵνα πάντες ἐπαύρωνται βασιλῆος,
γνῷ δὲ καὶ Ἀτρεΐδης εὐρὺ κρείων Ἀγαμέμνων
ἣν ἄτην ὅ τ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν.
Τὸν δ' ἠμείβετ' ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα·
ὤ μοι τέκνον ἐμόν, τί νύ σ' ἔτρεφον αἰνὰ τεκοῦσα;
αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων
ἧσθαι, ἐπεί νύ τοι αἶσα μίνυνθά περ οὔ τι μάλα δήν·
νῦν δ' ἅμα τ' ὠκύμορος καὶ ὀϊζυρὸς περὶ πάντων
ἔπλεο· τῷ σε κακῇ αἴσῃ τέκον ἐν μεγάροισι.
τοῦτο δέ τοι ἐρέουσα ἔπος Διὶ τερπικεραύνῳ
εἶμ' αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον αἴ κε πίθηται.
ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισι
μήνι' Ἀχαιοῖσιν, πολέμου δ' ἀποπαύεο πάμπαν·
Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας

404 **Αἰγαίωνα**, *οὐκ ἔστι δὲ τῶν Τιτάνων ὁ Αἰγεύς, ἀλλὰ ἐνάλιος δαίμων· οὕτως γὰρ καὶ ἡ σύγκρισις λαμβανομένη πρὸς τὸν Ποσειδῶνα λόγον ἔξει.* | **ὅ** ep.-οὗτος 21. | **βίην**-βίαν 10. | **οὗ πατρός** ep.-πατρός αὐτοῦ. ‖ 405 **ῥά**-ἄρα 1. | **καθέζετο**-ἐκαθέζετο 29. ‖ 406 **τόν**-τούτων 21. ‖ 407 **τῶν**-τούτων 21. | **μίν** ep.-αὐτόν 21. | **παρέζεο**-παρέζου 25. | **γούνων** ep.-γονάτων 4., *κεφαλῆς μὲν λαμβανόμεθα, ἐπεὶ ἡγεμονικόν· δεξιᾶς, ἐπεὶ πρακτικόν· γονάτων (δι' αὐτῶν γὰρ ἐπικλᾶται τὸ σῶμα) ἐπικλᾶν οἰωνιζόμενοι τὴν ψυχὴν τοῖς λόγοις.* ‖ 408 **αἴ κεν** ep.-ἐάν. | **ἐθέλῃσιν**-ἐθέλῃ 23. | **ἐπί** … **ἀρῆξαι**-ἐπαρῆξαι 20. | **Τρώεσσιν**-Τρωσίν 19. ‖ 409 **ἕλσαι** ep.-εἵλαι 34. ‖ 410 **ἐπαύρωνται,** *κατ' εἰρωνείαν εἴρηται παρ' αὐτοῦ.* **βασιλῆος**-βασιλέως 17. ‖ 412 **ἣν ἄτην** ep.-ἄτην αὐτοῦ. | **ὅ τ'** ep.-ὅτι ‖ 413 **τόν**-αὐτόν 21. | **κατά** … **χέουσα**-καταχέουσα 20. ‖ 414 **ὤ μοι τέκνον,** *οὐκ εὐθὺς αὐτῷ τὴν διακονίαν ὑφισνεῖται, προολοφύρεται δὲ εἰδυῖα τὴν αἴτησιν πρόξενον αὐτῷ οὖσαν θανάτου.* | **ἔτρεφον,** *ἔθρεφα.* | **αἰνά,** *ἀντὶ τοῦ αἰνῶς, ἤτοι ματαίως καὶ ἀπράκτως.* ‖ 415 **ὄφελες**-ὤφελες 29., *μᾶλλον ἂν προεθέμην σε τὸν ἄπρακτον βίον ζῆσαι· ἐπὶ λύμῃ γὰρ ἐμῇ τοῦτον εἵλου τὸν βίον.* | **νηυσίν**-ναυσίν 16. ‖ 416 **τοί** ep.-σοί. | **μίνυνθα,** *ἐπ' ὀλίγον χρόνον, ἢ κατὰ ἀποκοπὴν τοῦ μι νυνθάδιος.* ‖ 417 **ὀϊζυρός,** *ταλαίπωρος … εἰ τοιαῦτα περὶ Ἀχιλλέως ὁ ποιητής φησι, τί περὶ τῶν ἄλλων εἴποιμεν;* ‖ 418 **ἔπλεο** ep.-ἐπέλου 25. | **τῷ** ep.-διὰ τοῦτο. | **τέκον**-ἔτεκον 29. **μεγάροισι**-μεγάροις 12. ‖ 419 **ἐρέουσα**-ἐροῦσα 32. ‖ 420 **ἀγάννιφον,** *τὸν λίαν νιφόμενον κατὰ τὰ ὑπὸ τοῖς νέφεσι ὄρη· τὰ γὰρ ἄκρα τοῦ Ὀλύμπου ὡς ὑπερνεφῆ οὔτε νίφεται οὔτε κατομβρεῖται, κατ' αὐτὸν τὸν ποιητήν… «ἀγάννιφον» οὖν ἢ τὸν πάνυ κατανιφόμενον, ἢ τὸν οὔτε ὅλως.* | **αἴ κε** ep.-ἐάν. | **πίθηται** ep.-πείσηται. ‖ 421 **νηυσίν**-ναυσίν 16. | **ὠκυπόροισι** ep.-ὠκυπόροις 12. ‖ 422 **Ἀχαιοῖσιν**-Ἀχαιοῖς 12. | **ἀποπαύεο**-ἀποπαύου 25., *τῆς ὀργῆς δὲ αὐτὸν οὐκ ἐπέχει, εἰδυῖα τὸ φιλόνεικον αὐτοῦ καὶ φιλότιμον. καλῶς δὲ καὶ λόγοις μὲν χαρίζεται αὐτῷ, ἔργοις δὲ ἀναβάλλεται.* ‖ 423 **ἐς** ep.-εἰς. | **Αἰθιοπῆας**-Αἰθιοπέας 17., *ὅμοιόν ἐστι τῷ ἡνιοχῆας. εὐσεβῶς φησι μηδὲ τῶν πόρρωθεν ἀνθρώπων ἀμελεῖν τὸ θεῖον. διττοὶ δέ εἰσιν οἱ Αἰθίοπες· οἱ μὲν πρὸς ἀνατολήν, οἱ δὲ πρὸς δύσιν, ὁριζόμενοι διχῇ ὑπὸ Νείλου.* ‖

χθιζὸς ἔβη κατὰ δαῖτα, θεοὶ δ' ἅμα πάντες ἕποντο·
δωδεκάτῃ δέ τοι αὖτις ἐλεύσεται Οὔλυμπον δέ,
καὶ τότ' ἔπειτά τοι εἶμι Διὸς ποτὶ χαλκοβατὲς δῶ,
καί μιν γουνάσομαι καί μιν πείσεσθαι ὀΐω.
Ὣς ἄρα φωνήσασ' ἀπεβήσετο, τὸν δὲ λίπ' αὐτοῦ
χωόμενον κατὰ θυμὸν ἐϋζώνοιο γυναικὸς
τήν ῥα βίῃ ἀέκοντος ἀπηύρων· αὐτὰρ Ὀδυσσεὺς
ἐς Χρύσην ἵκανεν ἄγων ἱερὴν ἑκατόμβην.
οἳ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἐντὸς ἵκοντο
ἱστία μὲν στείλαντο, θέσαν δ' ἐν νηῒ μελαίνῃ,
ἱστὸν δ' ἱστοδόκῃ πέλασαν προτόνοισιν ὑφέντες
καρπαλίμως, τὴν δ' εἰς ὅρμον προέρεσσαν ἐρετμοῖς.
ἐκ δ' εὐνὰς ἔβαλον, κατὰ δὲ πρυμνήσι' ἔδησαν·
ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ἐπὶ ῥηγμῖνι θαλάσσης,
ἐκ δ' ἑκατόμβην βῆσαν ἑκηβόλῳ Ἀπόλλωνι·
ἐκ δὲ Χρυσηὶς νηὸς βῆ ποντοπόροιο.
τὴν μὲν ἔπειτ' ἐπὶ βωμὸν ἄγων πολύμητις Ὀδυσσεὺς
πατρὶ φίλῳ ἐν χερσὶ τίθει καί μιν προσέειπεν·

424 **ἕποντο**-εἵποντο 29., *λέξις Ἀριστάρχου ἐκ τοῦ Α τῆς Ἰλιάδος ὑπομνήματος· «τὸ μὲν μετ' "ἀμύμονας" (423) ἐπ' ἀμύμονας, ὅ ἐστι πρὸς ἀμώμους, ἀγαθούς, τὸ δὲ "κατὰ δαῖτα" (424) ἀντὶ τοῦ ἐπὶ δαῖτα· οὕτως γὰρ νῦν Ὅμηρος τέθεικεν».* || 425 **αὖτις** ep.-αὖθις, *φασὶν ἐν Διοσπόλει μέγιστον εἶναι Διὸς ἱερόν, ἀφ' οὗ λαμβάνοντας τὸ ξόανον Αἰθίοπας μετὰ καὶ τῶν ἄλλων ἐγχωρίων θεῶν κατά τινα χρόνον περινοστεῖν τὰ μέρη τῆς Λιβύης καὶ πολυτελεῖς ποιεῖν πανηγύρεις ἐπὶ δώδεκα ἡμέρας, ὅτι καὶ τοσοῦτοι οἱ θεοί.* | **Οὔλυμπον**-Ὄλυμπον 4. || 426 **ποτί** ep.-πρός. | **χαλκοβατές,** *στερεὰν ἔχον τὴν βάσιν. οὐκ ἄπεισι δὲ εἰς Αἰθιοπίαν ἡ Θέτις, ὅτι ἐκεῖ ἦσαν οἱ Ἀχαιϊκοὶ θεοί, καὶ τῷ υἱῷ καιρὸν μετανοίας διδοῦσα καὶ αὐτοῖς τοῖς Ἕλλησι, καὶ ἵνα Τρῶες αἴσθωνται τῆς μήνιδος καὶ τολμήσωσι λοιπὸν εἰς τὴν μάχην.* | **δῶ** ep.-δῶμα. || 427 **μίν**-αὐτόν 21. || 428 **ἀπεβήσετο**-ἀπεβήσατο 35. | **τόν** ep.-αὐτόν 21. | **λίπε**-ἔλιπε 29. || 429 **χωόμενον**-χώμενον 32. | **εὐζώνοιο** ep.-εὐζώνου 13. || 430 **τήν**-ἥν 21. | **βίῃ**-βίᾳ 10. | **ἀέκοντος**-ἄκοντος 3. | **αὐτὰρ Ὀδυσσεύς,** *ὅπως μὴ τῇ τῆς Θέτιδος ἀπαλλαγῇ συνάψῃ τὴν ἐπάνοδον, διὰ μέσου βάλλει τὰ κατὰ τὸν Ὀδυσσέα, μόνον οὐχὶ λόγῳ καταμετρήσας τὸν ἐπὶ Χρύσην πλοῦν. ἑκατέροις δὲ μετρίως χρώμενος διαναπαύει τὸν ἀκροατήν, τῶν μὲν τὸν κόρον περιαιρῶν, τῶν δὲ τὴν ἐπιθυμίαν ἀποπληρῶν.* || 431 **ἐς** ep.-εἰς. | **ἱερήν**-ἱεράν 10. || 432 **πολυβενθέος** ep.-**πολυβενθοῦς** 18. || 433 **στείλαντο**-ἐστείλαντο 29. | **θέσαν**-ἔθεσαν 29. || 434 **ἱστοδόκῃ,** *τὸ κατὰ τὴν πρύμναν ἐξέχον ξύλον, καθ' οὗ κλίνεται ὁ ἱστός.* | **πέλασαν**-ἐπέλασαν 29. | **προτόνοισι**-προτόνοις 12., *«προτόνοισιν ὑφέντες» Ζηνόδοτος μὲν «ὑφέντες» αἱ δὲ ἄλλαι πᾶσαι «ἐφέντες» πρότονοι δὲ τὰ ἀπὸ πρύμνης εἰς πρῷραν διήκοντα σχοινία.* || 435 **τήν**-αὐτήν 21. | **προέρεσσαν** ep.-προήρεσσαν 29., *οὐ γὰρ ᾔδεσαν τῶν ἀνέμων τὸ παλίμβολον. ἄλλως τε ἐν Ἰλιάδι ταύτην μόνην ἔχων ἔκπλοιαν τρόπον ἐδίδαξε προσορμισμοῦ.* || 436 **ἐκ** … **ἔβαλον**-ἐξέβαλον 20. | **κατά** … **ἔδησαν**-κατέδησαν 20. || 437 **ἐκ** … **βαῖνον**-ἐξέβαινον 20./29. | **θαλάσσης**-θαλάττης 7. || 438 **ἐκ** … **βῆσαν**-ἐξέβησαν 20./29., **ἐκ**, *πολλὴν ἔχει τὴν ἡδονὴν ἡ τῆς προθέσεως ἐπαγωγή. τὸ δὲ σχῆμα ἐπανάληψις.* || 439 **νηός**-νεώς 16. | **ἐκ** … **βῆ**-ἐξέβη 20./29. | **ποντοπόροιο** ep.-ποντοπόρου 13. || 440 **τήν**-ἥν 21. | **ἐπὶ βωμὸν ἄγων,** *προσάγει τὴν κόρην τῷ βωμῷ ὥσπερ ἀποδιδοὺς ἐπὶ τοῦ θεοῦ μάρτυρος. ἔστι δὲ ἡ ἐπί ἀντὶ τῆς παρά.* || 441 **ἐν** … **τίθει**-ἐνετίθει 20./29. | **μίν** ep.-αὐτόν. | **προσέειπεν**-προσεῖπεν 3. ||

ὦ Χρύση, πρό μ' ἔπεμψεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων
παῖδά τε σοὶ ἀγέμεν, Φοίβῳ θ' ἱερὴν ἑκατόμβην
ῥέξαι ὑπὲρ Δαναῶν ὄφρ' ἱλασόμεσθα ἄνακτα,
ὃς νῦν Ἀργείοισι πολύστονα κήδε' ἐφῆκεν.
Ὣς εἰπὼν ἐν χερσὶ τίθει, ὃ δὲ δέξατο χαίρων
παῖδα φίλην· τοὶ δ' ὦκα θεῷ ἱερὴν ἑκατόμβην
ἑξείης ἔστησαν ἐὐδμητον περὶ βωμόν,
χερνίψαντο δ' ἔπειτα καὶ οὐλοχύτας ἀνέλοντο.
τοῖσιν δὲ Χρύσης μεγάλ' εὔχετο χεῖρας ἀνασχών·
κλῦθί μευ ἀργυρότοξ', ὃς Χρύσην ἀμφιβέβηκας
Κίλλάν τε ζαθέην Τενέδοιό τε ἶφι ἀνάσσεις·
ἦ μὲν δή ποτ' ἐμεῦ πάρος ἔκλυες εὐξαμένοιο,
τίμησας μὲν ἐμέ, μέγα δ' ἴφαο λαὸν Ἀχαιῶν·
ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐέλδωρ·
ἤδη νῦν Δαναοῖσιν ἀεικέα λοιγὸν ἄμυνον.
Ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων.
αὐτὰρ ἐπεί ῥ' εὔξαντο καὶ οὐλοχύτας προβάλοντο,
αὐέρυσαν μὲν πρῶτα καὶ ἔσφαξαν καὶ ἔδειραν,
μηρούς τ' ἐξέταμον κατά τε κνίσῃ ἐκάλυψαν
δίπτυχα ποιήσαντες, ἐπ' αὐτῶν δ' ὠμοθέτησαν·

442 **πρό** … **ἔπεμψεν**-προύπεμψεν 20. || 443 **σοί,** *ὡς ἀντιδιαστελλόμενον τῷ «Φοίβῳ» δεῖ ὀρθοτονεῖν καὶ διὰ τὸν τέ.* | **ἀγέμεν**-ἄγειν 33. | **ἱερήν**-ἱεράν 10. || 444 **ὄφρα**, *ἵνα.* | **ἱλασόμεθα**-ἱλασώμεθα 28. || 445 **'Αργείοισι**-'Αργείοις 12. | **κήδεα**-κήδη 18. || 446 **ἐν** … **τίθει**-ἐνετίθει 20./29. | **δέξατο**-ἐδέξατο 29., *περιέτεμε τὸν λόγον τοῦ γέροντος· οὔτε γὰρ ἐπαινεῖν οὔτε ψέγειν ἦν τοὺς ἀποδόντας· τὸ μὲν γὰρ δουλοπρεπές, τὸ δὲ παροξυντικόν. ἀλλ' οὐδὲ τοσαύτην κίνησιν ἔχει τὰ ἡδέα λεγόμενα ὀπόσην τὰ λυπηρά.* || 447 **τοί δέ** ep.-οἱ δέ. | **ἱερήν**-ἱεράν 10. || 448 **ἑξείης** ep.-ἑξῆς., *οἶμαι τὴν εῑ πεπλεονακέναι ὡς ἐν τῷ ἀδελφειός.* | **ἐὐδμητον,** *δέμω δμῶ δμήσω δέδμηται, δμητός, ἐὐδμητος, ὡς «ἔὐννητος».* || 449 **χερνίψαντο** ep.-ἐχερνίψαντο 29., *«χερνιψάμενος» τὰς χεῖρας νιψάμενος.* | **οὐλοχύτας**, *κριθὰς δὲ μετὰ ἁλῶν μεμιγμένας ἐπέχεον – αὐτάς φησιν ὁ ποιητής.* | **ἀνέλοντο**-ἀνείλοντο 29. || 450 **τοῖσιν**-αὐτοῖς 12./21. | **μεγάλ' εὔχετο χεῖρας ἀνασχών,** *μεγάλως ἀνασχὼν τὰς χεῖρας· ἐπὶ σωτηρίᾳ γὰρ εὐχόμενος παρρησίαν ἄγει. ὅτε δὲ κατηρᾶτο τοὺς Ἕλληνας, ἡσυχῇ ηὔχετο· ἐπ' ὀλέθρῳ γὰρ ἀνθρώπων ἡ αἴτησις.* | **εὔχετο**-ηὔχετο 29. || 451 **κλῦθι** ep.-ἄκουσον. | **μεῦ**-μοῦ 14. | **πάρος ἔκλυες,** *ἐλεύθερον ἅμα καὶ προσακτικὸν τὸ χάριτας εἰδέναι. φησὶν οὖν, εἰ προήκουσάς μου, καὶ νῦν δίκαιος εἶ ἀκοῦσαι.* || 452 **ζαθέην** ep.-ζαθέαν. | **Τενέδοιο**-Τενέδου 13. || 453 **ἐμεῦ**-ἐμοῦ 14. | **εὐξαμένοιο**-εὐξαμένου 13. || 454 **τίμησας**-ἐτίμησας 29. | **ἴφαο** ep.-ἴφω. | **λαόν**-λεών 11. || 455 **ἐπικρήηνον** ep.-ἐπικρῆνον 3. | **ἐέλδωρ**-ἔλδωρ 3. || 456 **Δαναοῖσιν**-Δαναοῖς 12. | **ἀεικέα**-ἀεικῆ 18. | **λοιγὸν ἄμυνον,** *οὐ πολλῆς ἐδέησεν εὐχῆς αὐτῷ· ἐλεῆμον γάρ ἐστι τὸ θεῖον.* || 457 **τοῦ**-αὐτοῦ 21. || 458 **ῥά**-ἄρα 1. | **εὔξαντο**-ηὔξαντο 29. | **προβάλοντο**-προυβάλοντο 29., *εἰς τὸν βωμόν … ὁμοιοτέλευτον τὸ σχῆμα..* || 459 **αὐέρυσαν** ep.-αὐήρυσαν 29., *τὸ αὖ τὸ πάλιν δηλοῖ.* || 460 **ἐξέταμον** ep.-ἐξέτεμον. | **κατά** … **ἐκάλυψαν**-κατεκάλυψαν 20. || 461 **δίπτυχα,** *δύο περιβολὰς ἔχοντα, ὥστε τὸ μὲν ὑπεστρῶσθαι, τὸ δὲ ἐπιβεβλῆσθαι.* Hes. | **ὠμοθέτησαν,** *ἀπὸ τῶν ὠμῶν ἱερείων ἀπαρξάμενοι ἔκοφαν μικρὸν ἀπὸ παντὸς μέλους, καὶ ἐπέθηκαν ἐπὶ τὰ μηρία, ὡς δοκεῖν ὅλα τὰ μέλη τοῦ ἱερείου καρποῦσθαι.* ||

καῖε δ' ἐπὶ σχίζῃς ὅ γέρων, ἐπὶ δ' αἴθοπα οἶνον
λεῖβε· νέοι δὲ παρ' αὐτὸν ἔχον πεμπώβολα χερσίν.
αὐτὰρ ἐπεὶ κατὰ μῆρ' ἐκάη καὶ σπλάγχνα πάσαντο,
μίστυλλόν τ' ἄρα τἆλλα καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν,
ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
αὐτὰρ ἐπεὶ παύσαντο πόνου τετύκοντό τε δαῖτα
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἔντο,
κοῦροι μὲν κρητῆρας ἐπεστέψαντο ποτοῖο,
νώμησαν δ' ἄρα πᾶσιν ἐπαρξάμενοι δεπάεσσιν·
οἳ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο
καλὸν ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν
μέλποντες ἑκάεργον· ὃ δὲ φρένα τέρπετ' ἀκούων.
Ἧμος δ' ἠέλιος κατέδυ καὶ ἐπὶ κνέφας ἦλθε,
δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός·
ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,

462 **καῖε**-ἔκαιε 29. | **σχίζῃς**-σχίζαις 8. | **ἐπί** … **λεῖβε**-ἐπέλειβε 20./29. || 463 **ἔχον**-εἶχον 29. || 464 **κατά** … **ἐκάη** ep.-κατεκαύθη 20. | **μῆρα,** *ἀπὸ τοῦ μηρία συνεκόπη, καὶ μάλιστα τὰ ἐναγίσματα τῶν θεῶν δηλοῖ.* | **σπλάγχνα,** *ἀντὶ τοῦ τῶν σπλάγχνων, ὅ ἐστι τῶν ἐντοσθιδίων, ἥπατος νεφρῶν καὶ τῶν ἑξῆς. τούτων δὲ πάντων ἀπεγεύσαντο.* | **πάσαντο** ep.-ἐπάσαντο 29. || 465 **μίστυλλον** ep.-ἐμίστυλλον 29., *παρὰ τὸ μεῖον, μείως ἔτιλλον, καὶ κατὰ συγκοπὴν μίστυλλον.* | **ὀβελοῖσιν**-ὀβελοῖς 12. || 466 **ὤπτησαν,** *ἐμπειρίας γὰρ προσδεῖ τοῖς ὀπτῶσι· καὶ ὀπτᾶν δὲ εἴρηται διὰ τὸ πυκνότερον ἐποπτεύειν τὸν ὀπτῶντα.* | **περιφραδέως**-περιφραδῶς 18. | **ἐρύσαντο**-εἰρύσαντο 29. || 467 **παύσαντο**-ἐπαύσαντο 29. | **πόνου,** *ὅτι πόνον τὸ τῆς ἱερουργίας ἔργον. οὐδέποτε δὲ τὴν ἀλγηδόνα πόνον εἴρηκεν.* | **τετύκοντο** ep.-ἐτύχοντο 36., *τεύχω ἔτυχον ἐτυχόμην ἐτύχοντο, ποιητικὸς καὶ Ἰωνικὸς διπλασιασμὸς οἰκεῖος τοῖς δευτέροις ἀορίστοις.* || 468 **δαίνυντο**-ἐδαίνυντο 29. | **δαιτὸς ἐίης,** *τῆς ὁμοίως πᾶσιν ἐπιγινομένης διὰ ἔρωτα. ἢ τῆς μεριζομένης, ἐπεὶ κἂν τοῖς εὐτελέσι τὴν ἰσότητα ἐτήρουν.* || 469 **πόσιος**-πόσεως 16. | **ἐξ** … **ἔντο**-ἐξεῖντο 20./29., *ἀστικὸν δὲ τὸ μὴ φάναι ὅτι μέχρι κόρου ἤσθιον· τοῦτο γὰρ δουλοπρεπές … τὸ μὲν ἔρος ἐπὶ πάντων λέγουσι λέγεσθαι, τὸ δὲ ἔρως ἐπὶ μόνων τῶν ἀφροδισίων, ὅ ἐστι ἀπίθανον.* || 470 **κοῦροι**-κόροι 4., *ἀρχαῖον ἔθος οἰνοχοεῖν τοὺς νέους.* | **κρητῆρας**-κρατῆρας 10. | **ἐπεστέψαντο,** *ὑπὲρ τὸ χεῖλος ἐπλήρωσαν ὡς δοκεῖν ἐστέφθαι τῷ ὑγρῷ.* | **ποτοῖο**-ποτοῦ 13. || 471 **νώμησαν** ep.-ἐνώμησαν 29. | **δεπάεσσιν** ep.-δέπασι 19., *ὁ δὲ νοῦς· τῇ οἰνοχόῃ ἐπιχέαντες τοῖς ποτηρίοις διέδωκαν πᾶσιν. ἢ ἀπαρξάμενοι σπονδὴν τοῖς θεοῖς πᾶσιν ἐνώμησαν. νέμω δὲ νωμῶ, ὡς τρέχω τρωχῶ. τὸ δὲ δεπάεσσι πλεονασμῷ τοῦ ε ὡς πλέοσι πλεόνεσσι.* || 472 **πανημέριοι,** *ἀντὶ τοῦ τὸ πᾶν τὸ λοιπὸν τῆς ἡμέρας τὴν ᾠδὴν ἀναλίσκοντες· οὐ γὰρ δι' ὅλης τῆς ἡμέρας. ἡ δὲ «μολπή» ποτε καὶ ἐπὶ παιδιᾶς τίθεται.* || 473 **ἀείδοντες** ep.-ᾄδοντες 3. | **παιήονα**-παιᾶνα 3./10., *παιὼν καὶ παιὰν ὕμνος ἐπὶ καταπαύσει λοιμοῦ ἢ πολέμου ᾀδόμενος, πολλάκις καὶ προσδοκωμένου τοῦ δεινοῦ … πέντε δὲ αἱ παρὰ τοῖς ἥρωσιν ᾠδαί· σωφρονιστικόν, ὡς τὸ τοῦ ἀοιδοῦ Κλυταιμνήστρας· ἐγκωμιαστικόν, οἷον Ἀχιλλεὺς εὔρηται ᾄδων· παιανικόν, ὡς νῦν· θρηνητικόν, ὅπερ ἐπὶ γυναικῶν μᾶλλον τάσσει, καὶ ὑπορχηματικόν.* | **κοῦροι**-κόροι 4. || 474 **τέρπετο**-ἐτέρπετο 29. || 475 **ἠέλιος** ep.-ἥλιος 3. | **ἐπί** … **ἦλθε**-ἐπῆλθε 20. || 476 **κοιμήσαντο**-ἐκοιμήσαντο 29. | **νηός**-νεώς 16., *ἵνα, ἐὰν εὔφορος αὔρα γένηται αἴσθωνται κινηθείσης τῆς νεώς.* || 477 **φάνη**-ἐφάνη 29. | **ῥοδοδάκτυλος,** *πυρώδης γὰρ – ἀκτίνων σχῆμα. συνεκδοχή, ἀπὸ μέρους τὸ ὅλον.* ||

καὶ τότ' ἔπειτ' ἀνάγοντο μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν·
τοῖσιν δ' ἴκμενον οὖρον ἴει ἑκάεργος Ἀπόλλων·
οἳ δ' ἱστὸν στήσαντ' ἀνά θ' ἱστία λευκὰ πέτασσαν,
ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον, ἀμφὶ δὲ κῦμα
στείρῃ πορφύρεον μεγάλ' ἴαχε νηὸς ἰούσης·
ἣ δ' ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον.
αὐτὰρ ἐπεί ῥ' ἵκοντο κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν,
νῆα μὲν οἵ γε μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν
ὑψοῦ ἐπὶ ψαμάθοις, ὑπὸ δ' ἔρματα μακρὰ τάνυσσαν·
αὐτοὶ δ' ἐσκίδναντο κατὰ κλισίας τε νέας τε.
Αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος ὠκυπόροισι
διογενὴς Πηλῆος υἱὸς πόδας ὠκὺς Ἀχιλλεύς·
οὔτέ ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν
οὔτέ ποτ' ἐς πόλεμον, ἀλλὰ φθινύθεσκε φίλον κῆρ
αὖθι μένων, ποθέεσκε δ' ἀϋτήν τε πτόλεμόν τε.
Ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠώς,
καὶ τότε δὴ πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες
πάντες ἅμα, Ζεὺς δ' ἦρχε· Θέτις δ' οὐ λήθετ' ἐφετμέων
παιδὸς ἑοῦ, ἀλλ' ἥ γ' ἀνεδύσετο κῦμα θαλάσσης.
ἠερίη δ' ἀνέβη μέγαν οὐρανὸν Οὔλυμπόν τε.
εὗρεν δ' εὐρύοπα Κρονίδην ἄτερ ἥμενον ἄλλων
ἀκροτάτῃ κορυφῇ πολυδειράδος Οὐλύμποιο·
καί ῥα πάροιθ' αὐτοῖο καθέζετο, καὶ λάβε γούνων
σκαιῇ, δεξιτερῇ δ' ἄρ' ὑπ' ἀνθερεῶνος ἑλοῦσα

478 **ἀνάγοντο**-ἀνήγοντο 29. ‖ 479 **τοῖσιν**-αὐτοῖς 12./21. ‖ 480 **στήσαντο**-ἐστήσαντο 29. | **ἀνά** … **πέτασσαν**-ἀνεπέτασαν 6./20./29. ‖ 481 **ἐν** … **πρῆσεν** ep.-ἐνέπρησεν 20./29., *ἐφύσησεν … Ἀριστοτέλης φησὶν ὡς κινούμενα ὀνόματα γράφει ὁ ποιητής.* ‖ 482 **πορφύρεον**-πορφύρουν 14. | **νηός**-νεώς 16. ‖ 483 **ἔθεεν**-ἔθειν 32. | **κατὰ κῦμα,** *ἀντὶ τοῦ κατὰ κύματος.* | **διαπρήσσουσα**-διαπράττουσα 7./10. ‖ 484 **ῥά**-ἄρα 1. ‖ 485 **νῆα**-ναῦν 16. | **οἵ**-αὐτοί 21. | **ἠπείροιο**-ἠπείρου 13. | **ἔρυσσαν**-εἵρυσαν 29., *διδάσκει πολὺ ἀπὸ θαλάττης νεωλκεῖν ὑφορωμένους τὴν πλήμμυραν.* ‖ 486 **ὑπό** … **τάνυσσαν** ep.-ὑποτάνυσαν 20./29. ‖ 487 **νέας**-ναῦς 16. ‖ 488 **ὅ** ep.-αὐτός 21. | **μήνιε**-ἐμήνιε 29. | **νηυσί**-ναυσί 16. | **ὠκυπόροισι** ep.-ὠκυπόροις 12. ‖ 489 **Πηλῆος**-Πηλέως 17. ‖ 490 **ἀγορήν**-ἀγοράν 10. | **πωλέσκετο** ep.-ἐπωλεῖτο 31. ‖ 491 **ἐς** ep.-εἰς. | **φθινύθεσκε** ep.-ἐφθίνυθε 31. ‖ 492 **ποθέεσκε**-ἐπόθει 31. | **πτόλεμον** ep.-πόλεμον. ‖ 493 **ῥά** ep.-ἄρα. | **τοῖο**-τούτου 13./21., *ἐκ τούτου δὴ τοῦ χρόνου, τοῦ μήνιδος.* | **γένετο**-ἐγένετο 29. ‖ 494 **ἴσαν** ep.-ἦσαν. | **αἰέν** ep.-ἀεί. | **ἐόντες**-ὄντες 32. ‖ 495 **λήθετο**-ἐλήθετο 29. | **ἐφετμέων**-ἐφετμῶν 8. ‖ 496 **ἑοῦ** ep.-αὐτῆς. | **ἥ**-αὐτή 21. | **ἀνεδύσετο**-ἀνεδύσατο 35. | **θαλάσσης**-θαλάττης 7. ‖ 497 **ἠερίη** ep.-ἠερία 10., *διδάσκει δὲ καὶ τὸν τῶν ἐντεύξεων καιρόν· ἥσυχος γὰρ καὶ νηφάλιος ὁ ἑωθινὸς καιρός.* | **Οὔλυμπον**-Ὄλυμπον 4. ‖ 498 **εὐρύοπα,** *μεγαλόφθαλμον. ἢ μεγαλόφωνον. ἢ τὸν μεγάλως ἐφορῶντα. οἱ δὲ τὸν μεγάλους ἤχους ἀποτελοῦντα διὰ τῶν βροντῶν.* Hes. ‖ 499 **Οὐλύμποιο**-Ὀλύμπου 4./13., *παροιμία· «τρὶς τριηκόσιαι κορυφαὶ νιφόεντος Ὀλύμπου».* ‖ 500 **ῥά** ep.-ἄρα. | **αὐτοῖο**-αὐτοῦ 13. | **καθέζετο**-ἐκαθέζετο 29. | **λάβε**-ἔλαβε 29. | **γούνων** ep.-γονάτων, *εἰκόνα δεομένου ὡς ἐν γραφῇ.* ‖ 501 **σκαιῇ**-σκαιᾷ 10. | **δεξιτερῇ**-δεξιτερᾷ 10., *ὑπολαβοῦσα τὸν ἀνθερεῶνα.* ‖

λισσομένη προσέειπε Δία Κρονίωνα ἄνακτα·
Ζεῦ πάτερ εἴ ποτε δή σε μετ' ἀθανάτοισιν ὄνησα
ἢ ἔπει ἢ ἔργῳ, τόδε μοι κρήηνον ἐέλδωρ·
τίμησόν μοι υἱὸν ὃς ὠκυμορώτατος ἄλλων
ἔπλετ'· ἀτάρ μιν νῦν γε ἄναξ ἀνδρῶν Ἀγαμέμνων
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας αὐτὸς ἀπούρας.
ἀλλὰ σύ πέρ μιν τῖσον Ὀλύμπιε μητίετα Ζεῦ·
τόφρα δ' ἐπὶ Τρώεσσι τίθει κράτος ὄφρ' ἂν Ἀχαιοὶ
υἱὸν ἐμὸν τίσωσιν ὀφέλλωσίν τέ ἑ τιμῇ.
Ὣς φάτο· τὴν δ' οὔ τι προσέφη νεφεληγερέτα Ζεύς,
ἀλλ' ἀκέων δὴν ἧστο· Θέτις δ' ὡς ἥψατο γούνων
ὣς ἔχετ' ἐμπεφυυῖα, καὶ εἴρετο δεύτερον αὖτις·
νημερτὲς μὲν δή μοι ὑπόσχεο καὶ κατάνευσον
ἢ ἀπόειπ', ἐπεὶ οὔ τοι ἔπι δέος, ὄφρ' ἐὺ εἰδέω
ὅσσον ἐγὼ μετὰ πᾶσιν ἀτιμοτάτη θεός εἰμι.
Τὴν δὲ μέγ' ὀχθήσας προσέφη νεφεληγερέτα Ζεύς·
ἦ δὴ λοίγια ἔργ' ὅτε μ' ἐχθοδοπῆσαι ἐφήσεις
Ἥρῃ ὅτ' ἄν μ' ἐρέθῃσιν ὀνειδείοις ἐπέεσσιν·
ἦ δὲ καὶ αὖτως μ' αἰεὶ ἐν ἀθανάτοισι θεοῖσι
νεικεῖ, καί τέ μέ φησι μάχῃ Τρώεσσιν ἀρήγειν.

502 **προσέειπε**-προσεῖπε 3. || 503 **ἀθανάτοισιν**-ἀθανάτοις 12. | **ὄνησα**-ὤνησα 29. || 504 **κρήηνον** ep.-κρῆνον 3. | **ἐέλδωρ**-ἔλδωρ 3. || 505 **τίμησόν μοι υἱόν,** *εὖ τὸ μὴ εἰπεῖν «Ἀχιλλέα» ἀγωγὸν γὰρ πειθοῦς μᾶλλον τὸ τῆς φύσεως ὄνομα. καὶ ἐν τοῖς ἑξῆς «υἱὸν ἐμὸν τίσωσιν» (510).* || 506 **μίν** ep.-αὐτόν. || 508 **μίν** ep.-αὐτόν., *ἠθικὸν τὸ σύ· ὃν ἐκεῖνος ὕβρισε, σὺ μὴ ἐξουθενήσῃς.* | **μητίετα,** *βουλικώτατε . . . ἔστι δὲ εἰπεῖν ὅτι ἀπὸ τοῦ μητῖτα κατὰ πλεονασμὸν τοῦ ε̄ καὶ συστολῇ τοῦ ῑ̄ . . . κλητικὴ γέγονε «μητίετα» καὶ ὁ τόνος ἐπὶ τοῦ αὐτοῦ τόπου ἔμεινε μετὰ τὸν πλεονασμόν. οὕτως Ὧρος. καὶ Ἀπολλώνιος ἐν τῷ Περὶ παρωνύμων καὶ ἀπὸ τοῦ μητῖτά φησι τὸ μητίετα.* || 509 **ἐπί** . . . **τίθει**-ἐπιτίθει 20. | **Τρώεσσι**-Τρωσί 19. | **ὄφρ' ἄν** ep.-ἕως ἄν. || 510 **ὀφέλλωσιν**, *αὔξωσιν. ὅθεν καὶ ὄφλημα τὸ χρέος διὰ τὸν τόκον.* | **ἕ** ep.-αὐτόν. || 511 **φάτο** ep.-ἔφη 29. | **τήν**-αὐτήν 21. | **τὴν δ' οὔ τι προσέφη** *μετ' ἐπισκέψεως ποιεῖσθαι τὰς ἀποκρίσεις δεῖ, ὅπου καὶ ὁ Ζεὺς σκέπτεται· ἅμα δὲ καὶ ὅτι περὶ πάσης ἐνθυμεῖται τῆς Ἰλιακῆς περιπετείας.* | **νεφεληγερέτα**-νεφεληγερέτης 9. || 512 **ὡς ἥψατο γούνων,** *ὡς ὥσπερ, ἀναφορικῶς. διδάσκει δὲ ἡμᾶς ὁ ποιητὴς μὴ ἀποκάμνειν ἐν ταῖς ἱκεσίαις.* | **γούνων** ep.-γονάτων. || 513 **ἔχετο**-εἴχετο 29. | **ἐμπεφυυῖα** ep.-ἐμπεφυκυῖα. | **αὖτις** ep.-αὖθις. || 514 **νημερτές,** *ἀναμαρτές, ἀληθές, σαφές.* Hes. | **ὑπόσχεο**-ὑπόσχου 25. || 515 **τοί** ep.-σοί. | **ἔπι**, *ἔπεστι.* | **ὄφρα** ep.-ἵνα. | **εἰδέω**-εἰδῶ 32. || 516 **ὅσσον**-ὅσον 6. | **ἀτιμοτάτη θεός εἰμι,** *ἣν ἔδει καὶ λίαν τιμιωτάτην παρὰ σοί. πιθανῶς δὲ οὐκ εἶπεν, ὅσον ἀχάριστος παρὰ πάντας εἶ, ἑαυτὴν δὲ ἀτιμοτάτην ἔσεσθαι.* || 517 **τήν**-αὐτήν 21. | **ὀχθήσας,** *εἰς ὕψος ἐπάρας τὸν θυμόν, παρὰ τοὺς ὄχθους ἢ παρὰ τὸ ἄχθος ἀχθήσας, ὅ ἐστιν ἀχθεσθείς, καὶ ὀχθήσας.* | **νεφεληγερέτα**-νεφεληγερέτης 9. || 518 **ἐχθοδοπῆσαι ἐφήσεις,** *ἐντέχνως ηὔξησε τὴν χάριν, διὰ αὐτὴν φάσκων τὴν εἰς τοὺς φιλτάτους παρορᾶν τιμήν.* || 519 **Ἥρῃ**-Ἥρᾳ 10. | **ἐρέθῃσιν** ep.-ἐρέθῃ 23. | **ἐπέεσσιν**-ἔπεσιν 3./19. || 520 **αὖτως,** *μάτην, ψευδῶς, ἐμοῦ μὴ ταῖς ἀληθείαις ἐπικουροῦντος αὐτοῖς. ἄκρως δὲ γυναικεῖον ἦθος ἐξέθετο· ὑποπτεύουσι γὰρ ἅπαντα, καὶ τοῖς ἀνδράσιν ὀνειδίζουσιν ὡς οὐ πράττουσι τὰ κεχαρισμένα αὐταῖς.* | **αἰεί** ep.-ἀεί. | **ἀθανάτοισι θεοῖσι**-ἀθανάτοις θεοῖς 12. || 521 **Τρώεσσι**-Τρωσί 19. ||

ἀλλὰ σὺ μὲν νῦν αὖτις ἀπόστιχε μή τι νοήσῃ
Ἥρη· ἐμοὶ δέ κε ταῦτα μελήσεται ὄφρα τελέσσω·
εἰ δ' ἄγε τοι κεφαλῇ κατανεύσομαι ὄφρα πεποίθῃς·
τοῦτο γὰρ ἐξ ἐμέθεν γε μετ' ἀθανάτοισι μέγιστον
τέκμωρ· οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν
οὐδ' ἀτελεύτητον ὅ τί κεν κεφαλῇ κατανεύσω.
Ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων·
ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος
κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.
Τὼ γ' ὣς βουλεύσαντε διέτμαγεν· ἡ μὲν ἔπειτα
εἰς ἅλα ἅλτο βαθεῖαν ἀπ' αἰγλήεντος Ὀλύμπου,
Ζεὺς δὲ ἐὸν πρὸς δῶμα· θεοὶ δ' ἅμα πάντες ἀνέσταν
ἐξ ἑδέων σφοῦ πατρὸς ἐναντίον· οὐδέ τις ἔτλη
μεῖναι ἐπερχόμενον, ἀλλ' ἀντίοι ἔσταν ἅπαντες.
ὣς ὃ μὲν ἔνθα καθέζετ' ἐπὶ θρόνου· οὐδέ μιν Ἥρη
ἠγνοίησεν ἰδοῦσ' ὅτι οἱ συμφράσσατο βουλὰς
ἀργυρόπεζα Θέτις θυγάτηρ ἁλίοιο γέροντος.
αὐτίκα κερτομίοισι Δία Κρονίωνα προσηύδα·
τίς δ' αὖ τοι δολομῆτα θεῶν συμφράσσατο βουλάς;
αἰεί τοι φίλον ἐστὶν ἐμεῦ ἀπὸ νόσφιν ἐόντα

522 **αὖτις** ep.-αὖθις. ‖ 523 **Ἥρη**-Ἥρα 10. | **κέ**, *περισσὸς ὁ κέ.* | **ὄφρα** ep.-ὅπως. | **τελέσσω**-τελῶ 6., *μελήσει δέ μοι, πῶς ταῦτα τελέσω. δωρεᾶς δὲ ἐμφήνας τὸ μέγεθος ὅτι τε τῇ γυναικὶ προσκρούσει δοὺς αὐτήν, ὅμως ἐπὶ τελέσει ἐπινεύει, διδάσκοντος τοῦ ποιητοῦ ὡς μέγιστόν ἐστιν ἀποδιδόναι χάριν ὀφείλοντα.* ‖ 524 **τοί** ep.-σοί. | **ὄφρα** ep.-ἵνα. ‖ 525 **ἐμέθεν** ep.-ἐμοῦ. | **ἀθανάτοισι**-ἀθανάτοις 12. ‖ 527 **κέν** ep.-ἄν., *περιώρικε τοὺς τρόπους . . . διὰ τοῦ «παλινάγρετον» (526) ἐσήμαινεν ὅτι βέβαιός ἐστιν· ὅτι φιλάγαθος διὰ τοῦ «ἀπατηλόν» (526)· ὅτι τελεσιουργός διὰ τοῦ «ἀτελεύτητον» (527).* ‖ 528 **κυανέῃσιν** ep.-κυανέαις 8. | **ἐπ'** . . . **νεῦσε**-ἐπένευσε 20./29., *ἐπένευσε ταῖς ὀφρύσι· μέρος γὰρ αὗται τῆς κεφαλῆς. κυάνεαι δὲ αἱ μέλαιναι . . . ἀπὸ τούτων λέγεται τῶν δύο στίχων Φειδίαν τὸν ἀγαλματοποιὸν ποιῆσαι τὸν ἐν Ἤλιδι χαλκοῦν ἀνδριάντα οὕτως καμπτόμενον καὶ συνωθούμενον.* ‖ 530 **ἀθανάτοιο**-ἀθανάτου 13. | **ἐλέλιξεν**, *τῷ δὲ τάχει τῶν συλλαβῶν τὸν τρόμον τοῦ ὄρους διαγράφει καὶ τὸ ταχὺ τῆς κινήσεως δηλοῖ . . . Εὐφράνωρ δὲ Ἀθήνησι τοὺς δώδεκα θεοὺς γράφων ἐν τῇ στοᾷ, ὡς ἠπόρει ποῖον ἀρχέτυπον περιθείη Διΐ, παριὼν ἐν διδασκάλου τῶν ἐπῶν τούτων ἤκουσε, κεκραγώς τε ὡς ἔχοι τὸ ἀρχέτυπον ἀπιὼν ἔγραφεν.* ‖ 531 **τώ**-τούτω 21. | **διέτμαγεν** ep.-διετμάγησαν 24., *διεχωρίσθησαν. ἡ μεταφορὰ ἀπὸ τῶν τεμνομένων σωμάτων.* ‖ 532 **ἅλτο** ep.-ἅλατο. | **αἰγλήεντος,** *λαμπροῦ.* Hes. ‖ 533 **ἑόν** . . . **δῶμα** ep.-δῶμα αὐτοῦ. | **ἀνέσταν**-ἀνέστησαν 24. ‖ 534 **ἑδέων**-ἑδῶν 18. | **σφοῦ πατρός** ep.-πατρός αὐτῶν, *συγκοπῇ τοῦ σφετέρου.* ‖ 535 **ἔσταν**-ἔστησαν 24., *ἀπὸ τούτων τῶν δύο στίχων λέγουσι γέροντας τιμῆσαι τὸν Λυκοῦργον τὸν τῶν Λακεδαιμονίων γράψαντα νόμον ἐπανίστασθαι τοὺς νέους τοῖς πρεσβυτέροις.* ‖ 536 **καθέζετο**-ἐκαθέζετο 29. | **μίν** ep.-αὐτόν. | **Ἥρη**-Ἥρα 10. ‖ 537 **ἠγνοίησεν**-ἠγνόησεν 3. | **οἱ** ep.-αὐτῷ. | **συμφράσσατο** ep.-συνεφράσατο 6./29. ‖ 538 **ἀργυρόπεζα** ep.-ἀργυροπέζης 9., *κόσμον περὶ τὰς ᾠὰς ἔχουσα· ἢ διὰ τοὺς αἰγιαλούς.* | **ἁλίοιο**-ἁλίου 13. ‖ 539 **κερτομίοισι** ep.-κερτομίοις 12., *τοῖς τὸ κέαρ βάλλουσι. γυναικεῖα δὲ ἄμφω, τό τε ὑπονοῆσαι καὶ τὸ μὴ ἐπισχεῖν τοῦ λόγου . . . τοῖς τὸ κέαρ τέμνουσιν, ὅ ἐστι τὴν ψυχήν, καὶ λυποῦσιν, οἱονεὶ κεαροτομίοις.* ‖ 540 **τοί** ep.-σοί. | **συμφράσσατο** ep.-συνεφράσατο 6./29. ‖ 541 **αἰεί** ep.-ἀεί. | **τοί** ep.-σοί. | **ἐμεῦ**-ἐμοῦ 14. | **ἐόντα**-ὄντα 32. ‖

κρυπτάδια φρονέοντα δικαζέμεν· οὐδέ τί πώ μοι
πρόφρων τέτληκας εἰπεῖν ἔπος ὅττι νοήσῃς.
Τὴν δ' ἠμείβετ' ἔπειτα πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἥρη μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μύθους
εἰδήσειν· χαλεποί τοι ἔσοντ' ἀλόχῳ περ ἐούσῃ·
ἀλλ' ὃν μέν κ' ἐπιεικὲς ἀκουέμεν οὔ τις ἔπειτα
οὔτε θεῶν πρότερος τὸν εἴσεται οὔτ' ἀνθρώπων·
ὃν δέ κ' ἐγὼν ἀπάνευθε θεῶν ἐθέλωμι νοῆσαι
μή τι σὺ ταῦτα ἕκαστα διείρεο μηδὲ μετάλλα.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
αἰνότατε Κρονίδη ποῖον τὸν μῦθον ἔειπες;
καὶ λίην σε πάρος γ' οὔτ' εἴρομαι οὔτε μεταλλῶ,
ἀλλὰ μάλ' εὔκηλος τὰ φράζεαι ἅσσ' ἐθέλῃσθα.
νῦν δ' αἰνῶς δείδοικα κατὰ φρένα μή σε παρείπῃ
ἀργυρόπεζα Θέτις θυγάτηρ ἁλίοιο γέροντος·
ἠερίη γὰρ σοί γε παρέζετο καὶ λάβε γούνων·
τῇ σ' ὀΐω κατανεῦσαι ἐτήτυμον ὡς Ἀχιλῆα
τιμήσῃς, ὀλέσῃς δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
δαιμονίη αἰεὶ μὲν ὀΐεαι οὐδέ σε λήθω·

542 **φρονέοντα**-φρονοῦντα 32. | **δικαζέμεν**-δικάζειν 33., *ἀντὶ τοῦ πράττειν.* | **οὐδέ τί πώ μοι,** *δυσχεραίνουσιν αἱ γυναῖκες, εἰ μὴ πάντα αὐταῖς ἀνακοινοῖντο οἱ ἄνδρες.* || 543 **ὅττι**-ὅ τι 6. || 544 **τήν**-αὐτήν 21. | **πατὴρ ἀνδρῶν τε θεῶν τε,** *διὰ τί τὸν Δία μόνον τῶν θεῶν οὕτω καλεῖ; ὅτι τὸ συναμφότερον ἔχει οὗτος μόνος· θεῶν μέν ἐστι πατὴρ καθ' Ὅμηρον Ἀπόλλωνος, Ἡφαίστου, Ἄρεος , Ἑρμοῦ, Διονύσου, Χαρίτων, Μουσῶν, Ἀφροδίτης, καὶ πολλῶν θνητῶν, Σαρπηδόνος, Αἰακοῦ, Ζήθου, Ἀμφίονος, Μίνωος, Ῥαδαμάνθυος, Ἡρακλέους, Περσέως καὶ ἑτέρων πολλῶν. οἱ δὲ ἄλλοι πολλοὶ καθ' Ὅμηρον πατέρες εἰσὶ μόνως ἢ θνητῶν ἢ ἀθανάτων, οἷον Κρόνος μὲν Διός, Ἥρας, Ἅιδου, Ποσειδῶνος, θνητοῦ δὲ οὐδενός· καὶ Ποσειδῶν πάλιν θεοῦ μὲν οὐδενός, θνητοῦ δὲ Κύκλωπος, Ἐφιάλτου, Ὤτου.* || 545 **Ἥρη**-Ἥρα 10. | **ἐπιέλπεο**-ἐπιέλπου 25. || 546 **εἰδήσειν** ep.-εἴσεσθαι. | **τοί** ep.-σοί. | **ἐούσῃ**-οὔσῃ 32. || 547 **κέ** ep.-ἄν. | **ἐπιεικές,** *πράως διαλεγόμενος ὡς τιμὴν αὐτῇ περιάπτει, ἔστι δὲ καὶ βιωτικὰ μιμήματα, πρῶτον ἠπίως ἀρξάμενον ἐπάγειν τὰς ἀπειλὰς ὕστερον.* | **ἀκουέμεν**-ἀκούειν 33. || 548 **τόν**-τοῦτον 21. || 549 **κέ** ep.-ἄν. | **ἐθέλωμι**-ἐθέλω 23. || 550 **διείρεο**-διείρου 25. || 551 **τόν**-αὐτόν 21. | **Ἥρη**-Ἥρα 10. || 552 **τόν**-τούτον 21. | **ἔειπες**-εἶπες 3. || 553 **λίην**-λίαν 10. | **καὶ λίην σε πάρος,** *ἔθος γυναιξὶν ἀρνεῖσθαι, ὅτι ποτε παρηνώχλησαν τοῖς ἀνδράσιν.* || 554 **εὔκηλος,** *ἥσυχος, πρᾷος, σῶος.* Hes. | **τά**-ταῦτα 21. | **φράζεαι**-φράζῃ 25. | **ἅσσα**, *Ἀρίσταρχός φησι τρία σημαίνειν τὴν λέξιν, τὸ τινά, τὸ ἅτινα, τὸ ὅσα. καὶ ἀεὶ ψιλοῦται, πλὴν τοῦ ὅτε δηλοῖ τὸ ἅτινα· τότε γὰρ δασύνεται. καὶ ἔστι κατὰ Ἡρωδιανὸν δύο μέρη λόγου, τὸ ἅ ἄρθρον καὶ τὸ σά Μεγαρικὸν δηλοῦν τὸ τινά. ἐν δὲ τῷ προκειμένῳ στίχῳ ψιλοῦται τὸ ἅσσα, καί φησιν αὐτὸ δηλοῦν τὸ ὅσα.* | **ἐθέλῃσθα**-ἐθέλῃ 23. || 555 **δείδοικα**-δέδοικα 3., *ἠθικῶς δεδοικέναι φησί, μὴ πλεονεκτηθῇ ὑπὸ Θέτιδος.* || 556 **ἀργυρόπεζα** ep.-ἀργυροπέζης 9. | **ἁλίοιο**-ἁλίου 13. || 557 **ἠερίη** ep.-ἠερία 10. | **λάβε**-ἔλαβε 29. | **γούνων** ep.-γονάτων. || 558 **τῇ**-αὐτῇ 21. | **ἐτήτυμον,** *ἀληθές ἢ ἀληθῶς.* Hes. | **Ἀχιλῆα**-Ἀχιλλέα 5./17. || 559 **πολέας** ep.-πολλούς. | **νηυσίν**-ναυσίν 16. || 560 **τήν**-αὐτήν 21. | **νεφεληγερέτα**-νεφεληγερέτης 9. || 561 **δαιμονίη**-δαιμονία 10., *μακαρία, ἐν σαρκασμῷ.* | **οἴεαι**-οἴῃ 25., *ὑπονοεῖς τὰ ἐμὰ βουλεύματα.* ||

πρῆξαι δ' ἔμπης οὔ τι δυνήσεαι, ἀλλ' ἀπὸ θυμοῦ
μᾶλλον ἐμοὶ ἔσεαι· τὸ δέ τοι καὶ ῥίγιον ἔσται.
εἰ δ' οὕτω τοῦτ' ἐστὶν ἐμοὶ μέλλει φίλον εἶναι·
ἀλλ' ἀκέουσα κάθησο, ἐμῷ δ' ἐπιπείθεο μύθῳ,
μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ
ἆσσον ἰόνθ', ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω.
Ὣς ἔφατ' ἔδδεισεν δὲ βοῶπις πότνια Ἥρη,
καί ῥ' ἀκέουσα καθῆστο ἐπιγνάμψασα φίλον κῆρ·
ὄχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοὶ Οὐρανίωνες·
τοῖσιν δ' Ἥφαιστος κλυτοτέχνης ἦρχ' ἀγορεύειν
μητρὶ φίλῃ ἐπὶ ἧρα φέρων λευκωλένῳ Ἥρῃ·
ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται οὐδ' ἔτ' ἀνεκτά,
εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον ὧδε,
ἐν δὲ θεοῖσι κολωὸν ἐλαύνετον· οὐδέ τι δαιτὸς
ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νικᾷ.
μητρὶ δ' ἐγὼ παράφημι καὶ αὐτῇ περ νοεούσῃ
πατρὶ φίλῳ ἐπὶ ἧρα φέρειν Διί, ὄφρα μὴ αὖτε
νεικείῃσι πατήρ, σὺν δ' ἡμῖν δαῖτα ταράξῃ.

562 **πρῆξαι**-πρᾶξαι 10. | **ἔμπης** ep.-ἔμπας. | **δυνήσεαι**-δυνήσῃ 25. ‖ 563 **ἔσεαι**-ἔσῃ 25. | **τό**-τοῦτο 21. | **τοί** ep.-σοί. | **ῥίγιον,** *φοβερώτερον. χαλεπώτερον. φρικτόν.* Hes. ‖ 564 **εἰ δ' οὕτω τοῦτ' ἐστί,** *εἰ συνεθέμην δέ, πάντως τοῦτο κατὰ τὸ ἀρέσκον μοι ἐποίησα. ἀρχοντικῶς δὲ οὔτε συντίθεται οὔτε ἀρνεῖται.* ‖ 565 **κάθησο**, *ἀποπαύει δὲ διὰ τούτου καὶ τὴν τῶν λοιπῶν πολυπραγμοσύνην.* | **ἐπιπείθεο**-ἐπιπείθου 25. ‖ 566 **τοί** ep.-σοί. | **οὐ χραίσμωσι,** *νῦν μὲν λόγοις αὐτὴν ἀποκρούεται, ἑτέρωθι δὲ καὶ ἔργῳ κολάζει, διδάσκοντος ἴσως τοῦ ποιητοῦ ὅτι ἀφόρητον ἂν εἴη γυνὴ μὴ ἐπηρεαζομένη.* ‖ 567 **κέν** ep.-ἄν. | **ἀάπτους,** *εἰσὶ δὲ οἳ ἀπροσπελάστους ἀποδιδόασιν, ἀπὸ τοῦ ἅφασθαι, ὧν οὐδεὶς ἂν ἅψαιτο δι' ἰσχύν. ἐμοὶ δὲ δοκεῖ παρὰ τὸ ἰάπτω γεγενῆσθαι, ὁ σημαίνει τὸ διαφθείρω καὶ βλάπτω· ἔνθεν τὸ «πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν» (3).* | **ἐφείω** ep.-ἐφῶ 3./38. ‖ 568 **ἔδδεισεν**-ἔδεισεν 6. | **Ἥρη**-Ἥρα 10. ‖ 569 **ῥά** ep.-ἄρα. | **καθῆστο,** *τοῦ ἕζω ἐστὶν ἡ κλίσις, ἥσμαι ἥσμην καὶ ἐν συνθέσει «καθῆστο», οἱ δὲ τοιοῦτοι παρακείμενοι καὶ ὑπερσυντέλικοι δισύλλαβοι, ἔχοντες δύο σύμφωνα ἐν τῇ συνθέσει, φυλάσσουσι τὸν τόνον, εἴργμαι καθείργμαι, ἦγμαι κατῆγμαι. οὕτως οὖν καὶ τὸ «καθῆστο».* | **ἐπιγνάμψασα,** *τὴν ἀκουσίως πεισθεῖσαν δηλοῖ.* ‖ 570 **ὄχθησαν** ep.-ὤχθησαν 29. ‖ 571 **τοῖσιν**-αὐτοῖς 12./21. ‖ 572 **ἐπί** … **φέρων**-ἐπιφέρων 20. | **ἧρα**, *ἔστιν ἧρ ἡ ἐπικουρία, καὶ ὀξύνεται ἡ γενική, ἠρός· καὶ ἡ αἰτιατικὴ ἦρα καὶ ἐν συνθέσει «ἐπίηρα». Ἀρίσταρχος δὲ ὑφ' ἓν κατ' ὀρθὴν σημασίαν τὸ ἐπίηρα. καὶ ἐπεκράτησεν ἡ Ἀριστάρχου, καίτοι λόγον οὐκ ἔχουσα.* | **Ἥρῃ**-Ἥρᾳ 10. ‖ 573 **ἔσσεται** ep.-ἔσται. ‖ 574 **σφώ,** *τοῦτο πρὸς ἔμφασιν τῶν προσώπων. τὸ δὲ «ἕνεκα θνητῶν» πρὸς εὐτελισμὸν τῆς αἰτίας. τὸ δὲ «ὧδε» πρὸς τὴν αὔξησιν τῆς ἔριδος.* ‖ 575 **θεοῖσι**-θεοῖς 12. ‖ 576 **ἔσσεται** ep.-ἔσται. | **ἦδος,** *κατὰ μετασχηματισμόν ἐστι τὸ ἦδος τοῦ ἡδονή· δασυνόμενον γὰρ μετασχηματίζεται εἰς τὸ ἦδος φιλούμενον, ὡς τὸ ἡμέρα μετασχηματίζεται εἰς τὸ «ἦμαρ».* | **χερείονα**-χρείονα 3. ‖ 577 **παράφημι,** *τὸ ἠμί καὶ φημί καὶ εἰμί ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον.* | **νοεούσῃ**-νοούσῃ 32., *οὐ δεομένῃ παραινέσεώς τινος. ἀνθρωπίνως κοινῇ μὲν ἀμφοτέροις ἐπιπλήττει ἕνεκεν ἀνθρώπων διαφερομένοις, ἰδίᾳ δὲ τῇ Ἥρᾳ εἴκειν τῷ Διὶ παραινεῖ.* ‖ 578 **ὄφρα** ep.-ἵνα. ‖ 579 **νεικείῃσι**-νεικῇ 3./23. | **σύν** … **ταράξῃ**-συνταράξῃ 20. ‖

εἴ περ γάρ κ' ἐθέλῃσιν Ὀλύμπιος ἀστεροπητὴς
ἐξ ἑδέων στυφελίξαι· ὃ γὰρ πολὺ φέρτατός ἐστιν.
ἀλλὰ σὺ τὸν ἐπέεσσι καθάπτεσθαι μαλακοῖσιν·
αὐτίκ' ἔπειθ' ἵλαος Ὀλύμπιος ἔσσεται ἡμῖν.
Ὣς ἄρ' ἔφη καὶ ἀναΐξας δέπας ἀμφικύπελλον
μητρὶ φίλῃ ἐν χειρὶ τίθει καί μιν προσέειπε·
τέτλαθι μῆτερ ἐμή, καὶ ἀνάσχεο κηδομένη περ,
μή σε φίλην περ ἐοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι
θεινομένην, τότε δ' οὔ τι δυνήσομαι ἀχνύμενός περ
χραισμεῖν· ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι·
ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα
ῥῖψε ποδὸς τετάγων ἀπὸ βηλοῦ θεσπεσίοιο,
πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι
κάππεσον ἐν Λήμνῳ, ὀλίγος δ' ἔτι θυμὸς ἐνῆεν·
ἔνθά με Σίντιες ἄνδρες ἄφαρ κομίσαντο πεσόντα.
Ὣς φάτο, μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη,
μειδήσασα δὲ παιδὸς ἐδέξατο χειρὶ κύπελλον·
αὐτὰρ ὃ τοῖς ἄλλοισι θεοῖς ἐνδέξια πᾶσιν
οἰνοχόει γλυκὺ νέκταρ ἀπὸ κρητῆρος ἀφύσσων·
ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν

580 **ἐθέλῃσι**-ἐθέλῃ 23., *θωπευτικῶς τὰ τῆς δυνάμεως αὐτοῦ προβάλλεται, ἅμα δὲ καὶ πρὸς κατάπληξιν τῆς μητρός. τὸ δὲ ὅλον· εἰ θέλοι καταβαλεῖν ἡμᾶς ὁ Ζεύς (δυνήσεται γάρ), σὺ δὲ θωπεύσεις αὐτόν, εὐθέως ἡμερωθήσεται.* | **ἀστεροπητής,** *ἀστραπὰς ποιῶν.* || 581 **ἑδέων**-ἑδῶν 18. | **ὅ**-αὐτός 21. || 582 **τόν**-αὐτόν 21. | **ἐπέεσσι**-ἔπεσι 19. | **μαλακοῖσιν**-μαλακοῖς 12. || 583 **ἵλαος**-ἵλεως 11. | **ἔσσεται** ep.-ἔσται. || 584 **ἀναίξας,** *γέλωτα κινεῖ τὸ «ἀναΐξας» ἐπὶ τοῦ χωλοῦ τιθέμενον· γελοῖος γάρ ἐστι μιμούμενος τοὺς καλλίστους οἰνοχόους, Ἥβην καὶ Γανυμήδεα, καὶ μεμνημένος, πῶς ὁ Ζεὺς τοῦ ποδὸς λαβόμενος ἔρριψεν αὐτὸν οὐρανόθεν.* || 585 **ἐν** … **τίθει**-ἐνετίθει 20./29. | **μίν** ep.-αὐτήν. | **προσέειπε**-προσεῖπε 3. || 586 **ἀνάσχεο**-ἀνάσχου 25. | **κηδομένη,** *λυπουμένη.* || 587 **ἐοῦσαν**-οὖσαν 32. | **ὀφθαλμοῖσιν**-ὀφθαλμοῖς 12. || 588 **οὔτι δυνήσομαι,** *κωμικῶς τὴν ἰδίαν πήρωσιν προτίθησι.* || 590 **ἀλεξέμεναι**-ἀλέξειν 33. || 591 **ῥῖψε**-ἔρριψε 29., *δύο ῥίψεις Ἡφαίστου, προτέρα μὲν ὑπὸ τὴν γένεσιν ὑπὸ τῆς Ἥρας, δευτέρα δὲ ἡ ὑπὸ Διὸς διὰ τοὺς τῆς Ἥρας δεσμούς.* | **τετάγων** ep.-λαβών 36. | **θεσπεσίοιο** ep.-θεσπεσίου 13., *θεῖον.* Hes. || 592 **φερόμην**-ἐφερόμην 29., *πῶς Ἥφαιστος δι' ὅλης ἡμέρας φέρεται; φαμὲν οὖν ὅτι τὸ πᾶν ἦμαρ οὐ δηλοῖ τὸν ἀπὸ πρωΐας ἕως ἑσπέρας καιρόν, ἀλλὰ τὴν πελάζουσαν τῇ νυκτὶ ὥραν, ὡς καὶ ἀλλαχοῦ (472) «οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο» καὶ ἑξῆς (601–2) «πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα / δαίνυντο».* | **ἠελίῳ**-ἡλίῳ 3. || 593 **κάππεσον** ep.-κατέπεσον. | **ἐνῆεν** ep.-ἐνῆν. || 594 **Σίντιες ἄνδρες,** *Φιλόχορος Πελασγοὺς αὐτοὺς ὄντας οὕτω προσαγορευθῆναι, ἐπεὶ πλεύσαντες εἰς Βραυρῶνα κανηφόρους παρθένους ἥρπασαν· σίνεσθαι δὲ τὸ βλάπτειν λέγουσιν. Ἐρατοσθένης δέ, ἐπεὶ γόητες ὄντες εὗρον δηλητήρια φάρμακα. ὁ δὲ Πορφύριος, ἐπεὶ πρῶτοι τὰ πολεμιστήρια ἐδημιούργησαν ὅπλα, ἃ πρὸς βλάβην ἀνθρώπων συντελεῖ. ἢ ἐπεὶ πρῶτοι λῃστήρια ἐξεῦρον.* | **κομίσαντο**-ἐκομίσαντο 29. || 595 **φάτο** ep.-ἔφη. | **μείδησεν**-ἐμείδησεν 29. | **Ἥρη**-Ἥρα 10. || 597 **ὅ**-αὐτός 21. | **ἄλλοισι**-ἄλλοις 12. | **ἐνδέξια,** *ἐπιδεξίως.* || 598 **οἰνοχόει**-ᾠνοχόει 29. | **κρητῆρος**-κρατῆρος 10. || 599 **μακάρεσσι**-μακάρεσι 19. | **θεοῖσι**-θεοῖς 12. ||

ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.
Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
οὐ μὲν φόρμιγγος περικαλλέος ἣν ἔχ' Ἀπόλλων,
Μουσάων θ' αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.
Αὐτὰρ ἐπεὶ κατέδυ λαμπρὸν φάος ἠελίοιο,
οἳ μὲν κακκείοντες ἔβαν οἶκον δὲ ἕκαστος,
ἧχι ἑκάστῳ δῶμα περικλυτὸς ἀμφιγυήεις
Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσι·
Ζεὺς δὲ πρὸς ὃν λέχος ἤϊ' Ὀλύμπιος ἀστεροπητής,
ἔνθα πάρος κοιμᾶθ' ὅτε μιν γλυκὺς ὕπνος ἱκάνοι·
ἔνθα καθεῦδ' ἀναβάς, παρὰ δὲ χρυσόθρονος Ἥρη.

600 **ἴδον**-εἶδον 29. | **ποιπνύοντα,** *«ποιπνύσαντα», ἔστι δὲ παρὰ τὸ πονῶ, πονύω, πνύω, ποπνύω καὶ ποιπνύω.* || 601 **ἐς** ep.-εἰς. | **ἠέλιον**-ἥλιον 3. || 602 **δαίνυντο** ep.-ἐδαίνυντο. || 603 **περικαλλέος**-περικαλλοῦς 18. | **ἔχε**-εἶχε 29. || 604 **Μουσάων**-Μουσῶν 8. | **ἄειδον**-ᾖδον 3./29., *εὖ τὸ μὴ ἀπειροκάλως ἐπιμηκῦναι, τίνα ᾖδον αἱ Μοῦσαι, ὡς Ἡσίοδος «ἄειδον δ' οὓς Γαῖα καὶ Οὐρανὸς εὐρὺς ἔτικτεν, / οἵ τ' ἐκ τῶν ἐγένοντο».* || 605 **φάος** ep.-φῶς. | **ἠελίοιο**-ἡλίου 3./13. || 606 **κακκείοντες** ep.-κατακείοντες. | **ἔβαν**-ἔβησαν 24. || 608 **ποίησεν**-ἐποίησεν 29. | **ἰδυίῃσι** ep.-εἰδυίαις 8. | **πραπίδεσσι**-πραπίσι 19., *ἡ φρήν.* S. || 609 **ὅν λέχος** ep.-λέχος αὐτοῦ. | **ἤϊε** ep.-ᾔει. || 610 **κοιμᾶτο**-ἐκοιμᾶτο 29. | **μίν** ep.-αὐτόν. || 611 **καθεῦδε**-ἐκαθεῦδε 29., *ἀνέβη καθευδήσων . . . διδάσκει δὲ ὁ ποιητὴς μὴ χωρίζεσθαι ἄνδρα γυναικὸς ἐν κοίτῃ, ὡς μὴ τῇ ἀπουσίᾳ λυπήσῃ αὐτόν.* | **Ἥρη**-Ἥρα 10.

Igeszótár

Az igekötőket az igétől és egymástól kötőjellel választjuk el; a szótári alakok általában az alapige alatt találhatók. (Létezik néhány olyan ige is, melynek simplexe nem használatos, például ἀπο-λαύω, ἀν-αλίσκω.)
Ha az ige az augmentumot vagy a reduplikációt az igekötőn veszi föl (vagy azon is), akkor a kötőjelet zárójelbe tesszük.
Nem írjuk ki a „szabályos" igék szótári alakjait, mivel a nyelvtanokban leírtak szerint az alakok kikövetkeztethetők.
Ebbe a körbe tartoznak az -εύω, -άω, -έω, -όω, -άζω, -ίζω, -αίνω, -ύνω, -είρω, a többszótagú tövű -έλλω, ill. a deponens -άομαι, -έομαι, -όομαι végű igék.

	praes.	fut.	ao.	perf.	pf. M.	ao. P.	adj. verb.
[1]	παιδεύω	παιδεύσω	ἐπαίδευσα	πεπαίδευκα	πεπαίδευμαι	ἐπαιδεύθην	παιδευτός
[1b]	ἱδρύω	ἱδρῡ́σω	ἱδρῡ́σα	ἵδρῡκα	ἵδρῡμαι	ἱδρῡ́θην	ἱδρῡτός
[2]	τιμάω	τιμήσω	ἐτιμήσα	τετίμηκα	τετίμημαι	ἐτιμήθην	τιμητός
[2b]	πειράω	πειρᾰ́σω	ἐπείρᾱσα	πεπείρᾱκα	πεπείρᾱμαι	ἐπειρᾰ́θην	πειρᾱτός
[3]	ἀδικέω	ἀδικήσω	ἠδικήσα	ἠδίκηκα	ἠδίκημαι	ἠδικήθην	ἀδικητός
[4]	δηλόω	δηλώσω	ἐδηλώσα	δεδήλωκα	δεδήλωμαι	ἐδηλώθην	δηλωτός
[5]	ὀνομάζω	ὀνομάσω	ὠνόμασα	ὠνόμακα	ὠνόμασμαι	ὠνομάσθην	ὀνομαστός
[6]	ἐλπίζω	ἐλπιῶ	ἤλπισα	ἤλπικα	ἤλπισμαι	ἠλπίσθην	ἐλπιστός
[7]	ἀγγέλλω	ἀγγελῶ	ἤγγειλα	ἤγγελκα	ἤγγελμαι	ἠγγέλθην	ἀγγελτός
[8]	σημαίνω	σημανῶ	ἐσήμηνα	σεσήμαγκα	σεσήμασμαι	ἐσημάνθην	σημαντός
[8b]	κραίνω	κρανῶ	ἔκρᾱνα		κέκρασμαι	ἐκράνθην	κραντός
[8c]	αἰσχύνω	αἰσχυνῶ	ἤσχῡνα	ἤσχυγκα	(ἤσχυμμαι)	ἠσχύνθην	αἰσχυντός
[9]	σπείρω	σπερῶ	ἔσπειρα	ἔσπαρκα	ἔσπαρμαι	ἐσπάρην	σπαρτός

Az ezekre a típusokra való utalás nem feltétlenül jelenti azt, hogy az itt felsorolt alakok mind elő is fordulnak, de az előfordulók a minta szerint képezhetők.
A deponens igék esetében értelemszerűen medialis illetve passzív alakok képezhetők a szabályos igékből.
῞Ηκω πρὸς σὲ καὶ ἱκέτης προσπίπτω καὶ δίδωμί σοι ἐμαυτὸν δοῦλον καὶ σύμμαχον, σὲ δὲ τιμωρὸν αἰτοῦμαι ἐμοὶ γενέσθαι· καὶ παῖδα οὕτως ὡς δυνατόν σε ποιοῦμαι· ἄπαις δ' εἰμὶ ἀρρένων παίδων. ὃς γὰρ ἦν μοι μόνος καὶ καλὸς κἀγαθός, ὦ δέσποτα, καὶ ἐμὲ φιλῶν καὶ τιμῶν ὥσπερ ἂν εὐδαίμονα πατέρα παῖς τιμῶν τιθείη, τοῦτον ὁ νῦν βασιλεὺς [ἀπέκτεινε] οὗτος καλέσαντος τοῦ τότε βασιλέως, πατρὸς δὲ τοῦ νῦν, ὡς δώσοντος τὴν θυγατέρα τῷ ἐμῷ παιδί, ἐγὼ μὲν ἀπεπεμφάμην μέγα φρονῶν ὅτι δῆθεν τῆς βασιλέως θυγατρὸς ὀψοίμην τὸν ἐμὸν υἱὸν γαμέτην· ὁ δὲ νῦν βασιλεὺς εἰς θήραν αὐτὸν παρακαλέσας καὶ ἀνεὶς αὐτῷ θηρᾶν ἀνὰ κράτος, ὡς πολὺ κρείττων αὐτοῦ ἱππεὺς ἡγούμενος εἶναι, ὁ μὲν ὡς φίλῳ συνεθήρα, φανείσης δ' ἄρκτου διώκοντες ἀμφότεροι, ὁ μὲν νῦν ἄρχων οὗτος ἀκοντίσας ἥμαρτεν, ὡς μήποτε ὄφελεν, ὁ δ' ἐμὸς παῖς βαλών, οὐδὲν δέον, καταβάλλει τὴν ἄρκτον. . . .

ἐν τούτῳ δὴ οὐκέτι κατίσχει ὁ ἀνόσιος τὸν φθόνον, ἀλλ' αἰχμὴν παρά τινος τῶν ἑπομένων ἁρπάσας, παίσας εἰς τὰ στέρνα τὸν μόνον μοι καὶ φίλον παῖδα ἀφείλετο τὴν ψυχήν. κἀγὼ μὲν ὁ τάλας νεκρὸν ἀντὶ νυμφίου ἐκομισάμην καὶ ἔθαψα.

A hasonlító mellékmondat a főmondat valamelyik mondatrészét (gyakran a módhatározót, hasonlító határozót, minőségjelzőt) a könnyebb mégértés elősegítésére hasonlat formájában fejti ki.

A főmondatban kitett, vagy odaérthető névmási határozószók οὕτω(ς), ὡς, ὧδε 'úgy, oly módon, (a)mint' után kötőszóként állnak:

1. ὡς, ὥσπερ, ὅπως '(a)hogy; (a)mint; mintha; miként', amelyek után az ige módja vagy indicativus (reális kijelentés) vagy ἄν particulával bevezetett optativus potentiális, vagy általános értelmű éventuális feltételes előtag gyanánt ἄν és coniunctivus. Ide tartozik az a különösen gyakori szerkesztés, amelyben a ὡς particula mellett felsőfokú melléknév vagy határozószó áll.

2. ὥσπερ ἂν εἰ (← ὥσπερ ἂν πράττοι τις, εἴ τις) – mintha; mintha csak – feltételes értelmű kötőszó-particula együttes, amely egy elliptikusan szerkesztett feltételes periódust vezet be, vagy optativusszal (potentialitás), vagy indicativusszal (ipf.– jelen idejű, ao.– múlt idejű irrealitás) áll.

A hasonlító mellékmondatok körébe tartoznak a οὕτως – ὡς típusú τοιοῦτος – οἷος (mint amilyen) és τοσοῦτος – ὅσος (mint ahány) és egymásra vonatkozó névmások függő esetei által 'keretezett' összetett mondatok is.

Οὕτως ἐπισταμενῶς εἶπε ὡς οὐδεὶς ἂν ἄλλος δύναιτο.	Olyan frappánsan megmondta, ahogy senki más nem tudná.
Ἀγησίλαος ἦγε τὸ στράτευμα ἡσύχως ὥσπερ ἂν παρθένος ἡ σωφρονεστάτη προβαίνοι.	Agésilaos óvatosan vezette seregét, mintha csak egy igen szemérmes szűzlány haladna előre.
Ὁπότε γε μὴν οἱ ἵπποι εἰσὶν οἵους δεῖ ὡς ἂν αὐτοὶ οἱ ἱππεῖς ἄριστοι γίγνοιντο, τοῦτο διηγήσομαι.	Azt fogom elmondani, hogy amikor a lovak csakugyan olyanok, amilyennek lenniük kell, hogyan válhatnak a lovasok maguk is a legjobbakká.
Φέρε δὴ καὶ περὶ Θηραμένους ὡς ἂν δύνωμαι διὰ βραχυτάτων διδάξω.	Nosza, amennyire tőlem telik, igen röviden Théramenés felől is fölvilágosítalak benneteket.
Ὅμοιον γὰρ ὥσπερ ἂν εἰ φαίη εἰδέναι, καὶ μὴ παραγενόμενος, ὅσα ὑμεῖς πάντες πράττετε.	Hiszen hasonló ez ahhoz, mintha azt mondaná, hogy tudja, mi mindent csináltok ti mindannyian, jóllehet ő nincs jelen.

II. Fordítsa görögre az alábbi mondatokat!

1. Ha az ezüstbányákról csakugyan (úgy) gondoskodnának, ahogy kell, úgy gondolom, a többi bevétel nélkül is bőséges jövedelem <pénz> származna belőlük. 2. Hasonlóan tesznek, mintha valaki Pheidiast, Athéna szobrának készítőjét terakotta-készítőnek merné nevezni. 3. Az ilyenekkel majdnem ugyanaz történik, mint azzal, aki hitvány lovas <lovagolni tudó> létére paripára tenne szert. 4. Jobb, ha abban <úgy> a csatarendben vonulnak, mint (amiben) a legjobban harcolnának, ha szükség lenne rá. 5. Hasonlóan tesznek, mintha valaki Zeuxisról és Parrhasiosról azt mondaná, hogy művészetük egyenlő a piktorokéval <táblafestők>. 6. A jelenlévő chaldeusok, amikor közeledtek az örmények, ahogy szokták, csatakiáltásban (törtek ki), és rájuk rohantak. Az örmények viszont szokásukhoz híven <ahogy szokták> nem várták be őket. 7. Szinte ugyanúgy tesznek, mintha valaki a legerősebb atlétának kiáltaná ki magát <tettetné> ott lépve küzdőtérre, ahol senki más nem méltatná (válaszra). 8. Hogy lehetne tehát vétkes a vádban(?), aki ahelyett, hogy tagadta (volna) az isteneket, ahogy (tudniillik) a vádiratban szerepelt, nyilvánvalóan a többi embernél sokkal jobban tisztelte az isteneket. 9. Mindenesetre úgy élsz, ahogy egy szolga sem bírná, (aki) urának van alávetve. 10. Amennyire tőlem telik mégis megpróbálom tömören elmagyarázni <nektek> (a történetet).

11. Leókratés hosszú éveken át bitorolta <bírta és örökölte> Archiadés vagyonát örökség (gyanánt), mintha adoptált fia (lenne). 12. Bármi tűnjék <ami csak> föl váratlanul, a csökönyös lovat, ahogy az embert, a váratlan látnivalók, zajok, események megzavarják. 13. Védőbeszédemet, amennyire tőlem telik, a legrövidebben fogom megtartani. 14. Ahogy az illő volt, gyászruhát <fekete> öltve érkezett a férje miatt, akit ilyen csapás sújtott. 15. (Olyan) jóindulattal vagyok irántatok, amilyennel, azt kívánnám, ti legyetek irántam <jóindulat tekintetében úgy ..., mint>. 16. Szinte ugyanazt teszik, mintha valakiről kiderülne <mutatkoznék>, hogy az ő kezében vannak az istenek (kincsei), (bár éppen) mást vádol templomrablással. 17. Ugyanazt teszik, mintha a spártaiak nekilátnának megbüntetni a hivatásos hadfiakat <a hadi dolgokat gyakorlókat>. 18. Majdnem ugyanazt teszik, mintha a thessálok elhatároznák, hogy felelősségre vonják a „huszárokat" <a lovaglást gyakorlókat>. 19. Hasonlóan tesznek, mintha Phrynóndas valakinek a szemére vetné a gonoszságát. 20. Hasonlóan tesznek, mintha Philourgos, aki ellopta a Gorgóneiont, azt mondaná, hogy a többiek a templomrablók.

III. Fordítsa szabatos magyar nyelvre az alábbi mondatokat!

1. Μειδίας, θυγατρὸς ἀνὴρ αὐτῆς ὤν, ἀναπτερωθεὶς ὑπό τινων ὡς αἰσχρὸν εἴη γυναῖκα μὲν ἄρχειν, αὐτὸν δ' ἰδιώτην εἶναι, τοὺς μὲν ἄλλους μάλα φυλαττομένης αὐτῆς, ὥσπερ ἐν τυραννίδι προσῆκεν, ἐκείνῳ δὲ πιστευούσης καὶ ἀσπαζομένης ὥσπερ ἂν γυνὴ γαμβρὸν ἀσπάζοιτο, εἰσελθὼν ἀποπνῖξαι αὐτὴν λέγεται.

2. Δοκεῖς μοι, ἔφη ὁ Σωκράτης, τὸ εὔρυθμον οὐ καθ' ἑαυτὸ λέγειν, ἀλλὰ πρὸς τὸν χρώμενον, ὥσπερ ἂν εἰ φαίης ἀσπίδα, ᾧ ἂν ἁρμόττῃ, τούτῳ εὔρυθμον εἶναι, καὶ χλαμύδα, καὶ τἆλλα ὡσαύτως ἔοικεν ἔχειν τῷ σῷ λόγῳ.

3. Νῦν ἡμῖν λέγεις περὶ τῶν παρεληλυθότων· ὥσπερ ἂν εἴ τις ἰατρὸς ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν εἰσιὼν μὴ λέγοι μηδὲ δεικνύοι δι' ὧν ἀποφεύξονται τὴν νόσον, ἐπειδὴ δὲ τελευτήσειέ τις αὐτῶν καὶ τὰ νομιζόμεν' αὐτῷ φέροιτο, ἀκολουθῶν ἐπὶ τὸ μνῆμα διεξίοι «εἰ τὸ καὶ τὸ ἐποίησεν ἄνθρωπος οὑτοσί, οὐκ ἂν ἀπέθανεν.»

4. Ἡμῖν δοκεῖ, εἰ μέν τις ἐᾷ ἡμᾶς ἀπιέναι οἴκαδε, διαπορεύεσθαι τὴν χώραν ὡς ἂν δυνώμεθα ἀσινέστατα· ἢν δέ τις ἡμᾶς τῆς ὁδοῦ ἀποκωλύῃ, διαπολεμεῖν τούτῳ ὡς ἂν δυνώμεθα κράτιστα.

5. Ὡς δὲ ἀφίκετο τάχιστα καὶ ἔγνω ὁ Κῦρος τὸν Ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς οἷα δὴ παῖς φύσει φιλόστοργος ὢν ἡσπάζετό τε αὐτὸν ὥσπερ ἂν εἴ τις πάλαι συντεθραμμένος καὶ πάλαι φιλῶν ἀσπάζοιτο.

6. Ὁ δὲ Λυκοῦργος, κατασκευάσαι βουλόμενος ὡς ἂν μηδὲν βλάπτοντες ἀπολαύοιέν τι οἱ πολῖται ἀλλήλων ἀγαθόν, ἐποίησε παίδων ἕκαστον ὁμοίως τῶν ἑαυτοῦ καὶ τῶν ἀλλοτρίων ἄρχειν. ὅταν δέ τις εἰδῇ ὅτι οὗτοι πατέρες εἰσὶ τῶν παίδων, ὧν αὐτὸς ἄρχει ἀνάγκη οὕτως ἄρχειν ὥσπερ ἂν καὶ τῶν ἑαυτοῦ ἄρχεσθαι βούλοιτο. ἢν δέ τις παῖς ποτε πληγὰς λαβὼν ὑπ' ἄλλου κατείπῃ πρὸς τὸν πατέρα, αἰσχρόν ἐστι μὴ οὐκ ἄλλας πληγὰς ἐμβάλλειν τῷ υἱεῖ. οὕτω πιστεύουσιν ἀλλήλοις μηδὲν αἰσχρὸν προστάττειν τοῖς παισίν.

7. Εἰς φωρῶν δὲ λιμένα ὁρμίζονται, ὅς ἐστιν ἔξω τῶν σημείων τοῦ ὑμετέρου ἐμπορίου, καὶ ἔστιν ὅμοιον εἰς φωρῶν λιμένα ὁρμίσασθαι, ὥσπερ ἂν εἴ τις εἰς Αἴγιναν ἢ εἰς Μέγαρα ὁρμίσαιτο.

8. Νῦν δ' εἷς μὲν οὐδεὶς ὅλον τὸ πρᾶγμ' ἀνεδέξατο, οὐδὲ μεμαρτύρηκεν ἁπλῶς, ὡς ἄν τις ταληθῆ μαρτυρήσειεν, μέρος δ' ἕκαστος, ὡς δὴ σοφὸς καὶ διὰ τοῦτ' οὐ δώσων δίκην, ὁ μὲν γραμματεῖον ἔχειν ἐφ' ᾧ γεγράφθαι «διαθήκη Πασίωνος», ὁ δὲ ...

9. Ὥσπερ ἂν εἴ τις ναύκληρον πάντ' ἐπὶ σωτηρίᾳ πράξαντα καὶ κατασκευάσαντα τὸ πλοῖον ἀφ' ὧν ὑπελάμβανε σωθήσεσθαι, εἶτα χειμῶνι χρησάμενον καὶ πονησάντων αὐτῷ τῶν σκευῶν ἢ καὶ συντριβέντων ὅλως, τῆς ναυαγίας αἰτιῷτο.

10. Ἐγὼ μὲν οὖν τοιαῦτα ἐπαινῶ Ἀγησίλαον. ταῦτα γὰρ οὐχ ὥσπερ εἰ θησαυρῷ τις ἐντύχοι, πλουσιώτερος μὲν ἂν εἴη, οἰκονομικώτερος δὲ οὐδὲν ἄν, καὶ εἰ νόσου δὲ πολεμίοις ἐμπεσούσης κρατήσειεν, εὐτυχέστερος μὲν ἂν εἴη, στρατηγικώτερος δὲ οὐδὲν ἄν· ὁ δὲ καρτερίᾳ μὲν πρωτεύων ἔνθα πονεῖν καιρός, ἀλκῇ δὲ ὅπου ἀνδρείας ἀγών, γνώμῃ δὲ ὅπου βουλῆς ἔργον, οὗτος ἔμοιγε δοκεῖ δικαίως ἀνὴρ ἀγαθὸς παντελῶς ἂν νομίζεσθαι.

13 Okhatározói mellékmondatok

I. Fordítsa szabatos magyar nyelvre Xenophón lovaglásról szóló írásának bevezető sorait!

Ἐπειδὴ διὰ τὸ συμβῆναι ἡμῖν πολὺν χρόνον ἱππεύειν οἰόμεθα ἔμπειροι ἱππικῆς γεγενῆσθαι, βουλόμεθα καὶ τοῖς νεωτέροις τῶν φίλων δηλῶσαι ᾗ ἂν νομίζομεν αὐτοὺς ὀρθότατα ἵπποις προσφέρεσθαι. συνέγραφε μὲν οὖν καὶ Σίμων περὶ ἱππικῆς, ὃς καὶ τὸν κατὰ τὸ Ἐλευσίνιον Ἀθήνησιν ἵππον χαλκοῦν ἀνέθηκε καὶ ἐν τῷ βάθρῳ τὰ ἑαυτοῦ ἔργα ἐξετύπωσεν· ἡμεῖς γε μέντοι ὅσοις συνετύχομεν ταὐτὰ γνόντες ἐκείνῳ, οὐκ ἐξαλείφομεν ἐκ τῶν ἡμετέρων, ἀλλὰ πολὺ ᾧδιον παραδώσομεν αὐτὰ τοῖς φίλοις, νομίζοντες ἀξιοπιστότερα εἶναι ὅτι κἀκεῖνος κατὰ ταὐτὰ ἡμῖν ἔγνω ἱππικὸς ὤν· καὶ ὅσα δὴ παρέλιπεν ἡμεῖς πειρασόμεθα δηλῶσαι.

Az alárendelt mellékmondaton kívül az ok kifejezésének egyéb, gyakori módjai:

a, genitivus absolutusszal, participium coniunctummal, a szerkezetek particulákkal bővülhetnek. A ἅτε (οἷον, οἷα δή) particula általában az ok valós, tényleges voltát emeli ki, míg a ὡς, ὥσπερ ürügyként használt képzelt okot jelölnek:

Προσδεόμενοι οἱ Ἀθηναῖοι χρημάτων ἐς τὴν πολιορκίαν ἐξέπεμψαν ἐπὶ τοὺς ξυμμάχους ἀργυρολόγους ναῦς δώδεκα καὶ Λυσικλέα πέμπτον αὐτὸν στρατηγόν.	Minthogy az athéniaknak szükségük volt még pénzre az ostromhoz, kiküldtek tizenkét pénzbehajtó hajót a szövetségesekhez, hadvezérként pedig Lysiklést ötödmagával.
Ὁ δὲ Κῦρος ἅτε παῖς ὢν ἥδετο τῇ στολῇ.	Kyros pedig, minthogy gyerek volt, örült a ruhának.

b, praepositiókkal: κατά, διά (+ acc.), ἕνεκα (+ gen.), ἐπί (+ dat.)

Οἱ ξύμμαχοι κατὰ τὴν παλαιὰν ξυμμαχίαν πείθουσι τοὺς Ἀθηναίους πέμψαι σφίσι ναῦς.	A szövetségesek ősi szövetségük okán meggyőzik az athéniakat, hogy küldjenek nekik hajókat.

gyakorta főnevesült acc.cum inf. szerkezettel:

Πολλὰ ὑπισχνῇ νῦν διὰ τὸ ἐν τοιούτῳ εἶναι.	Sokat ígérsz most, mert ilyen helyzetben vagy.

Az okhatározói mellékmondatok idő és mód tekintetében úgy tekintendők, mint független kijelentő főmondatok, tehát indicativus áll a mellékmondatban. Abban az esetben, ha az író azt sugallja, hogy az ok mások értelmezése szerint ok, akkor ez szinte már függő beszédnek értelmezhető, és főmondati praeteritum után optativus obliquus állhat.

Ennek megfelelően Thukydidés alábbi állítása elsősorban az athéniak véleményét tolmácsolja:

(Οἱ ᾽Αθηναῖοι) τὸν Περικλέα ἐν ὀργῇ εἶχον, καὶ ἐκάκιζον ὅτι στρατηγὸς ὢν οὐκ ἐπεξάγοι.	Az athéniak haragudtak Periklésre és szüntelen gyalázták, mert hadvezér létére nem vezette őket hadba az ellenség ellen.

Még hangsúlyosabban állhatna még - akárcsak a függő beszédben – praesens ind.: (Οἱ ᾽Αθηναῖοι) τὸν Περικλέα ... ἐκάκιζον ὅτι ... οὐκ ἐπεξάγει. Ha ezzel Thukydidés egyetértett volna, talán így fogalmazott volna: (Οἱ ᾽Αθηναῖοι) τὸν Περικλέα ... ἐκάκιζον ὅτι ... οὐκ ἐπεξῆγε.

Kötőszavak: 1. ἐπεί, ἐπειδή, ὡς, ritkábban ὅτε, ὁπότε, amelyek időhatározói kötőszavak is egyben, ennek megfelelően a hangsúly a főmondatban álló tényen van:

᾽Αγησίλαος, ἐπεὶ ὥρα ἦν, ἐστρατοπεδεύσατο.	Agésilaos, minthogy elérkezett az ideje, letáborozott.
᾽Επειδὴ ἀπορία ἦν, συνήγαγον τὸ στράτευμα οἱ ἄρχοντες.	(Minekutána) mivel nem tudták, mit tegyenek, a vezérek összehívták a sereget.

2. ὅτι, διότι ha a hangsúly az okon, magyarázaton van (legtöbbször a főmondat után következik):

Οἱ δὲ Μιλήσιοι ὅτι οὐκ ἤθελε τοὺς φεύγοντας προέσθαι ἐφοβοῦντο Κῦρον.	A milétosiak tartottak Kyrostól, mert nem akarta elárulni a száműzötteket.

3. Érzelmet jelentő igék és kifejezések után, így pl.: θαυμάζω, ἄχθομαι, αἰσχύνομαι, ἀγαπάω, ἀγανακτέω; δεινόν /αἰσχρόν /ἀγαπητόν ἐστιν, stb. előfordul, hogy ὅτι helyett εἰ áll, amely esetben a körülményt, aminek alapján az adott érzelem létrejön (létrejöhet), feltételezett (reális), elképzelt okként fogjuk fel:

Μὴ θαυμάσῃς, εἰ πολλὰ τῶν λεγομένων ἐστὶν ἃ καὶ σὺ γιγνώσκεις.	Ne csodálkozz, ha (mert) mondandómban sok minden van, amit te is ismersz.
Πάντες δ᾽ ἠγανάκτουν, εἰ δειλὸν εἶναί τινα δοκεῖ αὐτῷ.	Mindenki méltatlankodott, hogy (mert / ha) úgy gondolja, hogy valamelyikük gyáva.

II. Fordítsa az alábbi mondatokat görögre!

1. Mivel pedig Lysandros nem szállt vele szembe mert sokkal kevesebb hajója volt, elhajózott Samos felé. 2. Kleónt nevezték ki hadvezérnek, mivel a korábban kinevezettek nem voltak képesek elfoglalni a szigetet. 3. Mivel már dél felé járt az idő, kihajóztak a kikötőből. 4. Megvádolták Miltiadést, mert (ahogy állították) megvesztegették. 5. A

szövetségesek fellázadtak <elszakadtak>, mert nem akarták fizetni az adót. 6. Életem, pénzem és minden más vagyonom kockán forog, mert követtem <engedelmeskedtem> városunk törvényeit. 7. Elhajították a fegyvereket, mert már nem tudtak ellenállni az ellenségnek. 8. Mivel – mondta –, Sókratés, tudatlan vagy, a következő könnyebben megtanulható dolgot parancsoljuk meg neked: egyáltalán ne beszélgess a fiatalokkal. 9. Ti is a cinkosai vagytok <jogtalanságot követtek el>, mert a ti polgárotok. 10. A hellének, mivel úgy tűnt, hogy elegendő hajó áll (rendelkezésükre), behajóztak, (majd) kedvező széllel egy nap és egy éjszaka hajóztak. 11. Ami engem illet, meggyőződésem, hogy (azért) haragudott meg, mert nem választják meg hadvezérnek. 12. Megharagudtak Themistoklésra, mert rávette őket, hogy hagyják el a várost. 13. Quae cum ita sint <minthogy így áll a dolog>… 14. A szigetet leigázták, mert elszakadt az athéniaktól. 15. Hibáztatták a hadvezért, mert nem parancsolta meg, hogy büntessék meg a fellázadt törzseket. 16. Kisstílű az, aki méltatlankodik <méltatlankodó>, mert <ha> másoknak jobban megy, mint neki. 17. A milétosiak fellázadtak, mert elnyomták őket a perzsák. 18. A milétosiak (azzal az ürüggyel) lázadtak föl, hogy elnyomják őket a perzsák. 19. Sok egyéb mellett (különösen azért) jogos <sok más miatt is, és ...>, hogy leszavazzátok őt, mert hőstetteitekkel példálózik saját hitványságával kapcsolatban <vitézségeiteket használja példaként>. 20. Kinevezték hadvezérnek, mert a megelőző háborúban megmentette a sereget. 21. A milétosiak kivándoroltak, mert tudták, hogy a médek nem fogják kímélni őket. 22. Dögvész támadt a hellének seregében, mert az istenek haragudtak rájuk. 23. Mivel régóta nem válaszoltak, kivártam. 24. Homéros dicsőítette Agamemnónt, mert jó király.

III. Fordítsa az alábbi mondatokat szabatos magyar nyelvre!

1. Λοκροὶ μὲν Συρακοσίων ἦσαν, Ῥηγῖνοι δὲ κατὰ τὸ ξυγγενὲς Λεοντίνων. ἐς οὖν τὰς Ἀθήνας πέμψαντες οἱ τῶν Λεοντίνων ξύμμαχοι κατά τε παλαιὰν ξυμμαχίαν καὶ ὅτι Ἴωνες ἦσαν πείθουσι τοὺς Ἀθηναίους πέμψαι σφίσι ναῦς.

2. Νὴ Δία καλῶς γε, ὡς ἔγωγέ φημι. Διὰ τί· ὅτι εἴ τις, οὓς ἐξ ἴσου δεῖ τιμᾶν τοῖς θεοῖς, εἰς τούτους ἐστὶ φαῦλος, τί ποτε, φησίν, ὑπ᾽ αὐτοῦ πείσονται οἱ ἀλλότριοι καὶ ἡ πόλις.

3. Ἄχθομαι δὲ καὶ νυκτὶ καὶ ὕπνῳ ὅτι ἐκεῖνον οὐχ ὁρῶ, ἡμέρᾳ δὲ καὶ ἡλίῳ τὴν μεγίστην χάριν οἶδα ὅτι μοι Κλεινίαν ἀναφαίνουσιν.

4. Οἱ δὲ Ἀσσύριοι, ἅτε καὶ τεθνηκότος τοῦ ἄρχοντος καὶ σχεδὸν σὺν αὐτῷ τῶν βελτίστων, ἠθύμουν μὲν πάντες, πολλοὶ δὲ καὶ ἀπεδίδρασκον αὐτῶν τῆς νυκτὸς ἐκ τοῦ στρατοπέδου.

5. Οὐ γὰρ ἂν καλῶς ἔχοι εἰ ὅτι τελέως ἀνὴρ ἀγαθὸς ἐγένετο, διὰ τοῦτο οὐδὲ μειόνων ἂν τυγχάνοι ἐπαίνων.

6. Ἀγησίλαος δὲ μάλα φαιδρῷ τῷ προσώπῳ ἀπαγγεῖλαι τῷ Τισσαφέρνει τοὺς πρέσβεις ἐκέλευσεν ὡς πολλὴν χάριν αὐτῷ ἔχοι ὅτι ἐπιορκήσας αὐτὸς μὲν πολεμίους τοὺς θεοὺς ἐκτήσατο, τοῖς δ᾽ Ἕλλησι συμμάχους ἐποίησεν.

7. Καὶ μὴ θαυμάσῃς, ἅπερ ἐπέστειλα καὶ πρὸς Διονύσιον τὴν τυραννίδα κτησάμενον, εἰ μήτε στρατηγὸς ὢν μήτε ῥήτωρ μήτ᾽ ἄλλως δυνάστης θρασύτερόν σοι διείλεγμαι τῶν ἄλλων.

8. Τὰ δὲ γένη τῶν κυνῶν διττά, αἱ μὲν καστόριαι, αἱ δὲ ἀλωπεκίδες. ἔχουσι δ᾽ αἱ μὲν καστόριαι τὴν ἐπωνυμίαν ταύτην ὅτι Κάστωρ ἡσθεὶς τῷ ἔργῳ μάλιστα αὐτὰς διεφύ-

λαξεν· αἱ δ' ἀλωπεκίδες διότι ἐκ κυνῶν τε καὶ ἀλωπέκων ἐγένοντο· ἐν πολλῷ δὲ χρόνῳ συγκέκραται αὐτῶν ἡ φύσις.

9. Διὰ τοῦτ' οὖν ἰσηγορίαν καὶ τοῖς δούλοις πρὸς τοὺς ἐλευθέρους ἐποιήσαμεν – καὶ τοῖς μετοίκοις πρὸς τοὺς ἀστούς, διότι δεῖται ἡ πόλις μετοίκων διά τε τὸ πλῆθος τῶν τεχνῶν καὶ διὰ τὸ ναυτικόν· διὰ τοῦτο οὖν καὶ τοῖς μετοίκοις εἰκότως τὴν ἰσηγορίαν ἐποιήσαμεν.

10. Ἐγὼ δ' ἡγοῦμαι διὰ τοῦθ' ὑμᾶς δικαίως ἂν αὐτῷ ὀργίζεσθαι, ὅτι τοῦ νόμου κελεύοντος, ἐάν τις ἀδοκίμαστος ἱππεύῃ, ἄτιμον εἶναι, ἐτόλμησεν ἀδοκίμαστος ἱππεύειν.

11. Καὶ πολλάκις ἤδη παρ' ἐκείνων πολιτῶν ὄντων δίκην τὴν μεγίστην ἐλάβετε, ὅτι οὐχ οἷοί τ' ἦσαν τῆς τούτων πονηρίας ἐπικρατῆσαι.

12. Ἀλλὰ μὴν τὰ περὶ Θηβαίους οὐδὲ σὲ λέληθεν. Καλλίστην γὰρ μάχην νικήσαντες καὶ δόξαν ἐξ αὐτῆς μεγίστην λαβόντες, διὰ τὸ μὴ καλῶς χρῆσθαι ταῖς εὐτυχίαις οὐδὲν βέλτιον πράττουσιν τῶν ἡττηθέντων καὶ δυστυχησάντων.

14 Célhatározói mellékmondatok

I. Fordítsa szabatos magyar nyelvre Lysiasnak a házasságtörő Eratosthenés megyilkolása ügyében írt védőbeszédéből azt a részletet, amelyben a megcsalt férj felesége csalfaságát ecseteli!

Καὶ οὕτως ἤδη συνειθισμένον ἦν, ὥστε πολλάκις ἡ γυνὴ ἀπῄει κάτω καθευδήσουσα ὡς τὸ παιδίον, ἵνα τὸν τιτθὸν αὐτῷ διδῷ καὶ μὴ βοᾷ. καὶ ταῦτα πολὺν χρόνον οὕτως ἐγίγνετο, καὶ ἐγὼ οὐδέποτε ὑπώπτευσα, ἀλλ' οὕτως ἠλιθίως διεκείμην, ὥστε ᾠόμην τὴν ἐμαυτοῦ γυναῖκα πασῶν σωφρονεστάτην εἶναι τῶν ἐν τῇ πόλει. Προϊόντος δὲ τοῦ χρόνου, ὦ ἄνδρες, ἦκον μὲν ἀπροσδοκήτως ἐξ ἀγροῦ, μετὰ δὲ τὸ δεῖπνον τὸ παιδίον ἐβόα καὶ ἐδυσκόλαινεν ὑπὸ τῆς θεραπαίνης ἐπίτηδες λυπούμενον, ἵνα ταῦτα ποιῇ· ὁ γὰρ ἄνθρωπος ἔνδον ἦν· ὕστερον γὰρ ἅπαντα ἐπυθόμην. καὶ ἐγὼ τὴν γυναῖκα ἀπιέναι ἐκέλευον καὶ δοῦναι τῷ παιδίῳ τὸν τιτθόν, ἵνα παύσηται κλᾶον. ἡ δὲ τὸ μὲν πρῶτον οὐκ ἤθελεν, ὡς ἂν ἀσμένη με ἑωρακυῖα ἥκοντα διὰ χρόνου· ἐπειδὴ δὲ ἐγὼ ὠργιζόμην καὶ ἐκέλευον αὐτίκα ἀπιέναι, «ἵνα σύ γε» ἔφη «πειρᾷς ἐνταῦθα τὴν παιδίσκην· καὶ πρότερον δὲ μεθύων εἴλκες αὐτήν».

A cél kifejezésének egyéb gyakori módjai: a, a futurum participiumával, ὡς particula a participium mellett a cél esetlegességét, feltételességét hangsúlyozza.

Ἦλθον λυσόμενος τοὺς πολίτας.	(Azzal a szándékkal) jöttem, hogy megszabadítom a polgárokat.
Παρεσκευάζοντο ὡς πολεμήσοντες.	Készülődtek, (hogy) mint akik harcolni akarnak.

b, ὅστις vonatkozó névmás és futurum indicativusszal, még abban az esetben is, ha praeteritum áll a főmondatban (cf.: vonatkozó mellékmondatok).

Πρέσβεις ἔπεμψαν οἵτινες ταῦτα ἀπαγγελοῦσι τῷ βασιλεῖ.	Követeket küldtek, hogy jelentsék ezeket a királynak (akik majd jelenteni fogják).

c, főnevesült infinitivusos szerkezet (acc. cum inf.) genitivusban:

Ὁ νόμος ὕστερον οὐκ ἐᾷ γίγνεσθαι Ἀθηναῖον ἐξεῖναι, ὃς ἂν μὴ νῦν γένηται, τοῦ μὴ πολλοὺς κατασκευάζειν αὐτοῖς πολιτείαν.	Ha valaki most nem lesz athéni, annak nem engedi meg a törvény, hogy a későbbiekben azzá váljék, nehogy sokan kaparintsák meg maguknak a polgárjogot.

A célhatározói alárendelt mellékmondat kötőszavai: ἵνα, ὡς, ὅπως, amelyek esetében főmondati praesens után a mellékmondatban coniunctivus áll. Főmondati praeteritum után a mellékmondatban többnyire optativus, ritkábban coniunctivus áll. Tagadószó: μή. A coniunctivusszal használt ὡς, ὅπως kötőszavak után álló ἄν particula a cél esetlegességét, a körülményektől való függését jelöli.

Μάχονται ὅπως τὴν πόλιν λάβωσιν.	Küzdenek, hogy bevegyék a várost.
Ἀπέφευγον ἵνα μὴ ληφθεῖεν, (ληφθῶσιν).	Elmenekültek, hogy el ne fogják őket.

II. Fordítsa görögre az alábbi mondatokat!

1. Lapítottam <nyugalomban voltam>, nehogy lebukjak. 2. Minden eszközzel élni kell, hogy megtéveszd Brasidast. 3. Könyörgött és esedezett, hogy ne öljék meg <haljon meg>. 4. Hívd meg a tanácsba Brasidast, hogy tanácskozzunk vele! 5. Remélem, Démosthenés itt lesz, hogy beszéljen az érdekemben. 6. Siettem, hogy jelen legyek. 7. A győztesek visszatértek, hogy emlékoszlopot állítsanak. 8. Megvádoltuk, hogy ne <lehessen neki> hagyhassa el a várost. 9. Háromszázat hagytak hátra, hogy eltemessék a halottakat. 10. Azt kérem hát tőletek, férfiak, figyeljetek a tanúvallomásra, nehogy megtévesszenek benneteket. 11. Bevezette őt, hogy részese legyen a társaságnak. 12. Csatába vezette a katonáit, (azzal a szándékkal) hogy megütközzön. 13. Azért mondom ezt, hogy megismerjétek őt, hogy kicsoda (valójában). 14. Küldj szolgákat, hogy jelentsék neki ezeket! 15. Hívatták az orvost, hogy lássa el őt <aki majd el fogja látni>. 16. Themistoklés követeket küldött, hogy azok megtévesszék a spártaiakat <akik majd meg fogják téveszteni>. 17. Elfogatja Kyrost, (azzal a szándékkal) hogy megölesse. 18. Felderítőket küldünk mindenhová, hogy megtudják, mi történik. 19. Magához szólítva a barátait komolyan elbeszélgetett velük, hogy megmutassa, kiket tisztel. 20. A hajókat elégették, nehogy Kyros átkeljen a folyón. 21. Küldj egy spártait, hogy ő vezesse a sereget <aki majd vezetni fogja>! 22. A vezér hírnököket küldött, hogy találják meg, hol ütött tábort az ellenség. 23. Gyorsan előre kell nyomulnunk, nehogy valaki meglásson benneteket. 24. Béketeremtő szándékkal vagyunk itt. 25. Neki fogunk indulni hajóinkkal, hogy új földeket találjunk. 26. Hogy ne sértsék meg a megállapodást, a hellének egész nap a táborban maradtak. 27. Ezeket nem azzal a szándékkal mondták, hogy bennünket becsapjanak, hanem hogy meggyőzzék a vezetőket. 28. A vezér elküldött néhány katonát, hogy temessék el a halottakat és állítsanak győzelmi oszlopot. 29. Hamis váddal illettek bennünket, hogy a javainkat megszerezzék. 30. A spártaiak lerombolták Athén falait, hogy az athéniak soha többé ne legyenek hatalmasak. 31. Ezek a hajók azért érkeznek, hogy bort és gabonát hozzanak Athénbe. 32. Sokan mentek Delphoiba, hogy megkérdezzék az istent. 33. A satrapa magához hívatta Alkibiadést, hogy megtudja, mi történik Athénban. 34. Árkot (ástak) és falat emeltek, hogy megvédjék a várost. 35. Elküldtünk az orvosért, nehogy úgy tűnjék, hogy mi öltük meg. 36. Elrejtettük az ezüstöt, hogy becsapjuk a bírót.

III. Egészítse ki az alábbi mondatokat a megadott igék megfelelő alakjaival!

1. Πότερον συνηγόρευες τοῖς κελεύουσιν ἀποκτεῖναι ἢ ἀντέλεγες· Ἀντέλεγον. Ἵνα (ἀποθνήσκω pl.1.) … ἢ μὴ (ἀποθνήσκω pl.1.) … · Ἵνα μὴ (ἀποθνήσκω pl.2.) … . Ἡγούμενος ἡμᾶς ἄδικα πάσχειν ἢ δίκαια· Ἄδικα. Εἴτ' ὦ σχετλιώτατε πάντων, ἀντέλεγες μὲν ἵνα (σώζω sg.2.) … , συνελάμβανες δὲ ἵνα (ἀποκτείνω sg.2.) …

2. Ἄπαιδα δὲ τὸν τελευτήσαντα καὶ ἀνώνυμον βούλεται καταστῆσαι, ἵνα μήτε τὰ ἱερὰ τὰ πατρῷα ὑπὲρ ἐκείνου μηδεὶς (τιμάω) … μήτ' (ἐναγίζω) … αὐτῷ καθ' ἕκαστον ἐνιαυτόν, ἀλλὰ (ἀφαιρέομαι) … τὰς τιμὰς τὰς ἐκείνου· ἃ προνοηθεὶς ὁ Μενεκλῆς, κύριος ὢν τῶν ἑαυτοῦ, ἐποιήσατο υἱὸν ἑαυτῷ, ἵνα τούτων ἁπάντων (τυγχάνω) … .

3. Οὕτω τοίνυν περιφανῶς παράνομα γεγραφώς, παραταχθεὶς μετὰ Δημοσθένους ἐποίσει τέχνας τοῖς νόμοις· ἃς ἐγὼ δηλώσω καὶ προερῶ ὑμῖν, ἵνα μὴ (λανθάνω)... ἐξαπατηθέντες.

4. Ἔγραψας τοὺς δούλους ἐλευθέρους εἶναι· ἔγραψα, ἵνα μὴ οἱ ἐλεύθεροι (δουλεύω) ... .

5. Ἐβούλοντο οὖν ἄκοντα δοκεῖν αὐτὸν καὶ μὴ ἑκόντα μηνύειν, ὅπως πιστοτέρα ἡ μήνυσις (φαίνομαι) ... .

6. Εἰπὲ σὺ ἐμοί, μέτοικος εἶ· Ναί. Μετοικεῖς δὲ πότερον ὡς (πείθομαι part.) ... τοῖς νόμοις τοῖς τῆς πόλεως, ἢ ὡς (ποιέω part.) ... ὅ τι ἂν βούλῃ· Ὡς (πείθομαι part.) ... .

7. Ἐκέλευσεν ἄνδρας λαβόντας ἐλθεῖν ὅτι πλείστους, ὡς (πολεμέω part.) ... Τισσαφέρνει.

IV. Néhány jellegzetes szónoki fordulat a terjengősség, bőbeszédű részletezés mentegetésére, amely gyakran a παρασιώπησις alakzatot vezeti be:

Amphipolisról én is tudtam (volna) beszélni / Amphipolisszal kapcsolatban nekem is lett volna mondanivalóm, de hogy Démosthenésnek alkalma legyen beszélni róla, (ezért) mellőztem.	Περὶ δ' Ἀμφιπόλεως εἶχον μὲν κἀγὼ λέγειν· ἵνα δ' ἐγγένηται Δημοσθένει περὶ αὐτῆς εἰπεῖν, παρέλιπον.
De, hogy el ne kalandozzam, fogd a rendeleteket ...	Ἀλλ' ἵνα μὴ πόρρω τοῦ παρόντος γένωμαι, λαβὲ τὰ ψηφίσματα
… hogy mást ne mondjak ...	ἵνα μηδὲν ἄλλ' εἴπω
De, hogy szavaimat egymásba ne öltsem és el ne térjek a tárgytól, ezeket mellőzni fogom ...	Ἀλλ' ἵνα μὴ λόγον ἐκ λόγου λέγων τοῦ παρόντος ἐμαυτὸν ἐκκρούσω, παραλείψω ταῦτα.
nehogy elvesszem a részletekben ...	ἵνα μὴ καθ' ἕκαστα λέγων διατρίβω
Hogy ne nyújtsam hosszúra ...	Ἵνα δὲ μὴ μακρολογῶ
De, hogy a végére járjak és több időt már ne vesztegessek, tekintsétek azt ...	Ἵνα δὲ παύσωμαι λέγων καὶ μηκέτι πλείω χρόνον διατρίβω, σκέψασθε
De, hogy benneteket a tárgytól el ne térítselek ...	Ἵνα δὲ μὴ ἀποπλανῶ ὑμᾶς ἀπὸ τῆς ὑποθέσεως
De, hogy a tárgynál maradjak, fogd (olvasd) a rendeletet ...	Ἵνα δ' ἐπὶ τῆς ὑποθέσεως μείνω, λαβέ μοι τὸ ψήφισμα
Nehogy azonban, athéni férfiak, túl hosszú beszédemmel untassalak benneteket, miután összefoglaltam javaslataim lényegét, le fogok lépni (a szónoki emelvényről).	Ἵνα δ', ὦ ἄνδρες Ἀθηναῖοι, μὴ μακρὰ λίαν λέγων ἐνοχλῶ, τὰ κεφάλαι' ὧν συμβουλεύω φράσας ἄπειμι.

15 A törekvés, gondoskodás, előkészítés (verba studii et curandi) igéi után álló mellékmondatok

I. Fordítsa szabatos magyar nyelvre Sókratés vitaindító kérdéseit a jó hadvezér mibenlétéről!

Ἐντυχὼν δέ ποτε στρατηγεῖν ἠρημένῳ τῳ, Τοῦ ἕνεκεν, ἔφη, Ὅμηρον οἴει τὸν Ἀγαμέμνονα προσαγορεῦσαι ποιμένα λαῶν· ἆρά γε ὅτι, ὥσπερ τὸν ποιμένα δεῖ ἐπιμελεῖσθαι, ὅπως σῶαί τε ἔσονται αἱ οἷες καὶ τὰ ἐπιτήδεια ἕξουσι καί, οὗ ἕνεκα τρέφονται, τοῦτο ἔσται, οὕτω καὶ τὸν στρατηγὸν ἐπιμελεῖσθαι δεῖ, ὅπως σῶοί τε οἱ στρατιῶται ἔσονται καὶ τὰ ἐπιτήδεια ἕξουσι καί, οὗ ἕνεκα στρατεύονται, τοῦτο ἔσται· στρατεύονται δέ, ἵνα κρατοῦντες τῶν πολεμίων εὐδαιμονέστεροι ὦσιν … καὶ γὰρ οὔτε κάλλιον τούτου ἄλλο ῥᾴδιον εὑρεῖν οὔτε αἴσχιον τοῦ ἐναντίου. καὶ οὕτως (Ὅμηρος) ἐπισκοπῶν τίς εἴη ἀγαθοῦ ἡγεμόνος ἀρετὴ τὰ μὲν ἄλλα περιῄρει, κατέλιπε δὲ τὸ εὐδαίμονας ποιεῖν ὧν ἂν ἡγῆται.

φροντίζειν, ἐπιμελεῖσθαι, μέλει μοι ‘gondolkodik; töri a fejét; törődik; gondja van ’
σπουδάζειν, προθυμεῖσθαι ‘igyekszik; törekszik; lelkesedik; óhajt’
βουλεύομαι ‘tervez; latolgat; kieszel; fondorkodik’
παρασκευάζεσθαι, μηχανᾶσθαι, πράττειν ‘előkészít; ügyeskedik; kieszközöl’
σκοπεῖν, σκοπεῖσθαι, σκεπτέον ἐστί ‘tekint; szemügyre vesz; megvizsgál; meggondol; meg kell gondolni’

A törekvést, gondoskodást, előkészítést jelentő igék és kifejezések után a célhatározói mellékmondat ismert módjai állhatnak, de legtöbbször futurum ind. áll, ὅπως kötőszó után. Az állító mellékmondat jelentése közel áll a (függő) kérdő értelemhez. Tagadás: μή-vel.

A fentiekhez jelentésében közel álló φυλάττεσθαι, εὐλαβεῖσθαι ‘óvakodik, tartózkodik, őrizkedik, elkerül, óvatosan jár el, lelkében megőriz, ügyel, aggályosan jár el’ igék és kifejezések után gyakrabban áll a (ὅπως) μή és coniunctivus, illetve (μή és) puszta infinitivus, mint a ὅπως μή utáni futurum indicativus. A kötőszó fordítása: ‘hogy, hogy ne’.

Πάντα ποιοῦσιν ὅπως ὑμεῖς τοῖς εὖ πεποιηκόσιν ὀργισθήσεσθε.	Mindent elkövetnek, hogy megharagudjatok jótevőitekre.

Ha a főmondat állítmánya imperativus második személye és a mellékmondat állítmánya is második személyben van, a főmondat elmaradhat:

Ὅπως οὖν ἔσεσθε ἄνδρες ἄξιοι τῆς ἐλευθερίας.	Legyetek hát méltók a szabadságra!
Φυλάττου ὅπως μὴ καὶ σὺ ἐλάττους τὰς βοῦς ποιήσῃς.	Őrizkedj attól, hogy te is csökkentsd a tehenek (számát)!

II. Fordítsa görögre az alábbi mondatokat!

1. Arra kell törekedni, hogy a barátság a lehető leghosszabb ideig megmaradjon. 2. Törekedj arra, hogy ne légy kontár <magánzó> ebben a dologban. 3. Nem akarnak gondoskodni (arról), hogy meglegyen nekik, amit akarnak. 4. Feltett szándékom,

hogy a jövőben őrizkedem és óvakodom attól, hogy ilyen (emberekkel) érintkezzem. 5. Mi azon fondorkodunk, hogy inkább megcsókoljunk valakit, mint hogy harcoljunk. 6. Arra kell törekedni, hogy megszabaduljunk (a köztünk) lévő gyűlölködéstől. 7. El kell kerülni, hogy a királynak ürügyet szolgáltassunk. 8. Azt tervez(get)i, hogy testvérének soha többé ne legyen már kiszolgáltatva, sőt, ha lehetséges, uralkodjék helyette. 9. A hősök inkább a dicsőségre törekszenek, mint arra, hogy éljenek <életre>, és mindent elkövetnek, hogy emlékezetük halhatatlan legyen <hátrahagyják>. 10. A lovas parancsnoknak nem szabad arra törekednie, hogy egyedül ő legyen nyalka <ragyogó>, arra azonban sokkal inkább, hogy az egész osztag <a követő> lássék megtekintésre méltónak. 11. Óvakodjatok attól, hogy miközben a háborútól igyekeztek megszabadulni, egy zsarnokot szerezzetek. 12. Senki nem készül arra és nem is foglalkozik azzal, hogy megvédjük (magunkat). 13. Gondom lesz rá, hogy ti is dicsérjetek engem, vagy ne legyen többé Kyros a nevem <tartsatok>! 14. Mindent meg kell tenni, hogy ne legyünk neki kiszolgáltatva. 15. Akkor ez vakmerő (dolognak) tűnt, óvakodtak is megtenni. 16. Gondoskodni kell arról, hogy a páncélzat <védőfegyver> a ló pofája körül puha legyen. 17. Ideje tanácskozni, hogy a lehető legjobban harcoljunk. 18. Ha elkerülhetetlenül <kényszer> harcolni kell, azt kell előkészíteni, hogy a lehető legeredményesebben <erősen> harcoljunk. 19. Vigyázni kell, hogy váratlanul rajtunk ne üssön az ellenség. 20. Figyelni kell, hogy veletek semmi ilyesmi ne történjék meg, és az se derüljön ki <mutatkozzatok>, hogy magatok estek azokba (a hibákba), amiket esetleg a többiek szemére vettek. 21. Vigyáznunk kell, hogy a szónok ne vádoljon bennünket. 22. Gondjuk volt rá, hogy senki ne csapja be őket. 23. Vigyázni kell arra, hogy semmi ilyesmit ne kövessetek el magatokkal szemben. 24. Ne szidalmazd a tanárokat!

III. Egészítse ki az alábbi mondatokat a megadott igék egy-egy lehetséges alakjával!

1. Ἐπειδὴ δὲ ἡ ἐκκλησία Μουνιχίασιν ἐν τῷ θεάτρῳ ἐγίγνετο, οὕτω σφόδρα τινὲς ἐπεμελοῦντο ὅπως καὶ ἐν τῷ δήμῳ περὶ τῶν στρατηγῶν καὶ τῶν ταξιάρχων μήνυσις (γίγνομαι) … – περὶ δὲ τῶν ἄλλων ἀπέχρη ἐν τῇ βουλῇ μόνῃ γεγενημένη –, ὥστε καὶ ἐκεῖ παράγουσιν αὐτὸν εἰς τὸν δῆμον.

2. Ἐνθυμεῖσθε δ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅπως μὴ πάντων ἔργον σχετλιώτατον (ἐργάζομαι) …

3. Εἰκὸς γάρ, ὦ βουλή, πάντας τοὺς ἔχοντάς τι δυστύχημα τοῦτο ζητεῖν καὶ τοῦτο φιλοσοφεῖν, ὅπως ὡς ἀλυπότατα (μεταχειρίζομαι) … τὸ συμβεβηκὸς πάθος.

4. Τῆς ἑορτῆς ἐπιμελήσεται μυστηρίοις, ὅπως ἂν μηδεὶς (ἀδικέω) … μηδὲ (ἀσεβέω) … περὶ τὰ ἱερά.

5. Οὕτως οὐχ ὑπὸ τῶν πολεμίων μόνον ἀλλὰ καὶ ὑπὸ τούτων πολιτῶν ὄντων ἐπεβουλεύεσθε ὅπως μήτ' ἀγαθὸν μηδὲν (ψηφίζομαι pl.2.) ... πολλῶν τε ἐνδεεῖς (εἰμί pl.2.) ...

6. Καίτοι σφόδρ' ἂν αὐτὸν οἶμαι μετὰ Θεμιστοκλέους πολιτευόμενον προσποιεῖσθαι πράττειν ὅπως (οἰκοδομέω pass.) ... τὰ τείχη, ὁπότε καὶ μετὰ Θηραμένους ὅπως (καθαιρέω pass.) ...

7. Οὗτος τοίνυν οὐχ ὅπως (ὠφελέω) ... τὴν πόλιν ἐν τοιούτῳ καιρῷ καὶ τοιαύτῃ καταστάσει διενοήθη, ἀλλ' ὅπως τι (κερδαίνω) ... ἀπὸ τῶν ὑμετέρων συμφορῶν παρεσκευάσατο.

8. Τούτων τῶν ἀρχόντων ἐπιμελεῖσθε οὐχ ὅπως νομίμως (ἄρχω) ... , ἀλλ' ὅπως (δύναμαι) ... βίᾳ κατέχειν τὰς πόλεις. ὥστ' ἐοίκατε τυραννίσι μᾶλλον ἢ πολιτείαις ἡδόμενοι.

9. Οὐκοῦν, ἔφη, σὺ τὴν μητέρα, εὖνουν τέ σοι οὖσαν καὶ ἐπιμελομένην ὡς μάλιστα δύναται κάμνοντος ὅπως (ὑγιαίνω) ... τε καὶ ὅπως τῶν ἐπιτηδείων μηδενὸς ἐνδεὴς (εἰμί) ... , καὶ πρὸς τούτοις πολλὰ τοῖς θεοῖς εὐχομένην ἀγαθὰ ὑπὲρ σοῦ καὶ εὐχὰς ἀποδιδοῦσαν, χαλεπὴν εἶναι φής;

10. Οὐκοῦν δεῖ παντὶ τρόπῳ διατειναμένους φεύγειν ὅπως μὴ ἀνδράποδα (εἰμί pl.1.) ...

11. Ἀλλὰ σωφρόνων τοί ἐστι καὶ ἀνδρὸς καὶ γυναικὸς οὕτω ποιεῖν, ὅπως τά τε ὄντα ὡς βέλτιστα (ἔχω) ... καὶ ἄλλα ὅτι πλεῖστα ἐκ τοῦ καλοῦ τε καὶ δικαίου (προσγίγνομαι) ...

12. Ἕως γε μένομεν αὐτοῦ σκεπτέον μοι δοκεῖ εἶναι ὅπως ἀσφαλέστατα (μένω) ... , εἴ τε ἤδη δοκεῖ ἀπιέναι, ὅπως ἀσφαλέστατα (ἄπειμι) ... , καὶ ὅπως τὰ ἐπιτήδεια (ἔχω) ... · ἄνευ γὰρ τούτων οὔτε στρατηγοῦ οὔτε ἰδιώτου ὄφελος οὐδέν.

13. Ἐπεμελήθη δὲ τίς ἄλλος πώποτε πλὴν Ἀγησίλαος ἢ ὅπως φῦλόν τι (ἀφίσταμαι) ... τοῦ Πέρσου ἢ ὅπως τὸ ἀποστὰν μὴ (ἀπόλλυμαι) ... ἢ τὸ παράπαν ὡς καὶ βασιλεὺς κακὰ ἔχων μὴ (δύναμαι) ... τοῖς Ἕλλησι πράγματα παρέχειν· ὃς καὶ πολεμούσης τῆς πατρίδος πρὸς Ἕλληνας ὅμως τοῦ κοινοῦ ἀγαθοῦ τῇ Ἑλλάδι οὐκ ἠμέλησεν, ἀλλ' ἐξέπλευσεν ὅ τι δύναιτο κακὸν ποιήσων τὸν βάρβαρον.

14. Τῶν δέ γε μὴν αὐτῷ ἤδη μέλειν δεῖ τῷ ἱππάρχῳ· πρῶτον μὲν ὅπως (καλλιερέω) ... τοῖς θεοῖς ὑπὲρ τοῦ ἱππικοῦ, ἔπειτα ὅπως τὰς πομπὰς ἐν ταῖς ἑορταῖς ἀξιοθεάτους (ποιέω) ... , ἔτι δὲ καὶ τἄλλα ὅσα ἐπιδεικνύναι δεῖ τῇ πόλει ὅπως ᾗ δυνατὸν κάλλιστα (ἐπιδείκνυμι) ... , τά τε ἐν Ἀκαδημείᾳ καὶ τὰ ἐν Λυκείῳ καὶ τὰ Φαληροῖ καὶ τὰ ἐν τῷ ἱπποδρόμῳ. καὶ ταῦτα μὲν ἄλλα ὑπομνήματα· ὡς δὲ τούτων ἕκαστα κάλλιστ' ἂν πράττοιτο, νῦν αὐτὰ ταῦτα λέξω.

15. Ἔτι τοίνυν ὑμᾶς κἀκεῖν' εὐλαβεῖσθαι δεῖ, ὅπως μηδὲν ὧν ἰδίᾳ φυλάξαισθ' ἄν, τοῦτο δημοσίᾳ ποιοῦντες (φαίνομαι) ...

16. Πολλῶν δὲ πραγμάτων ἡμῖν καὶ δεινῶν ἐφεστώτων ἃ δεῖ διαφυγεῖν, ἐκεῖνο μάλιστα φυλακτέον, ὅπως μηδὲν ἀνάνδρως (φαίνομαι) ... διαπραττόμενοι μηδὲ συγχωροῦντες τοῖς πολεμίοις παρὰ τὸ δίκαιον.

16 A félelem és aggódás igéi (verba timendi) után álló mellékmondatok

I. Fordítsa szabatos magyar nyelvre Hierón tyrannos panaszát: a zsarnoknak félnie kell a derék emberektől!

Χαλεπὸν δ' ἐρῶ σοι καὶ ἄλλο πάθημα, ὦ Σιμωνίδη, τῶν τυράννων. γιγνώσκουσι μὲν γὰρ οὐδὲν ἧττον τῶν ἰδιωτῶν τοὺς ἀλκίμους τε καὶ σοφοὺς καὶ δικαίους. τούτους δ' ἀντὶ τοῦ ἄγασθαι φοβοῦνται, τοὺς μὲν ἀνδρείους, μή τι τολμήσωσι τῆς ἐλευθερίας ἕνεκεν, τοὺς δὲ σοφούς, μή τι μηχανήσωνται, τοὺς δὲ δικαίους, μὴ ἐπιθυμήσῃ τὸ πλῆθος ὑπ' αὐτῶν προστατεῖσθαι. ὅταν δὲ τοὺς τοιούτους διὰ τὸν φόβον ὑπεξαιρῶνται, τίνες ἄλλοι αὐτοῖς καταλείπονται χρῆσθαι ἀλλ' ἢ οἱ ἄδικοί τε καὶ ἀκρατεῖς καὶ ἀνδραποδώδεις· οἱ μὲν ἄδικοι πιστευόμενοι, διότι φοβοῦνται ὥσπερ οἱ τύραννοι τὰς πόλεις μήποτε ἐλεύθεραι γενόμεναι ἐγκρατεῖς αὐτῶν γένωνται, οἱ δ' ἀκρατεῖς τῆς εἰς τὸ παρὸν ἐξουσίας ἕνεκα, οἱ δ' ἀνδραποδώδεις, διότι οὐδ' αὐτοὶ ἀξιοῦσιν ἐλεύθεροι εἶναι. χαλεπὸν οὖν καὶ τοῦτο τὸ πάθημα ἔμοιγε δοκεῖ εἶναι, τὸ ἄλλους μὲν ἡγεῖσθαι ἀγαθοὺς ἄνδρας, ἄλλοις δὲ χρῆσθαι ἀναγκάζεσθαι.

A félelmet jelentő igék és kifejezések, így φοβεῖσθαι, δεδιέναι, ὀκνεῖν, φόβος ἐστί, κίνδυνός ἐστι stb. után rendszerint érvényesül a consecutio modorum. A főmondati praesens után coniunctivus, főmondati praeteritum után optativus áll(hat). Kötőszavak: μή – hogy, μὴ οὐ – hogy nem. A mellékmondatban ritkán ind. is állhat, mely azt az éppen folyamatában megvalósuló vagy már megvalósult cselekvést jelzi, amitől a beszélő tart.

Δείδω μὴ ἀποθάνῃ.	Félek, hogy meghal.
Δείδω μὴ δή μοι τελέσῃ ἔπος ὄβριμος Ἕκτωρ.	Félek, hogy végül beteljesíti szavát a hatalmas Hektór.
Ἐφοβοῦντο μὴ ἐπιθοῖντο αὐτοῖς διαβαίνουσιν οἱ πολέμιοι.	Féltek, hogy átkelés közben rajtuk üt az ellenség.

Ahol a magyar a 'félni' (szégyenkezem, restellem, ódzkodom) ige után főnévi igenevet használ, ott a görög is:

Πολλὰ εἶπε, ἃ γράφειν αἰσχύνομαι.	Sok mindent mondott, amit szégyellek leírni.

II. Fordítsa görögre az alábbi mondatokat!

1. Nem attól félek, hogy nem tudok (majd) mit adni minden egyes barátomnak, ha sikerül (a vállalkozásom), hanem hogy nem lesznek elegen, akiknek adjak. 2. A barbárok hatvan stadionnyira táboroztak le a hellén seregtől, (mert) féltek, hogy az éjszaka a hellének rajtuk ütnek. 3. Féltem, hogy a bírák (majd) elítélik őt. 4. Félek, hogy senki sem siet segítségünkre. 5. Megrettentek, hogy mint a kutyákban, valamilyen veszettség támadt bennünk. 6. Engedelmeskedtek neki, mert féltek, hogy megbűnhődnek. 7. Félek, hogy az ellenség rendezi sorait, összegyülekezik valahol, és valami bajt okoz. 8. Félek, hogy éppen az ellenkezőjét teszem annak, amit akarok. 9. Leírtam, mert féltem, hogy nem (fogok) emlékezni. 10. Mivel féltem, hogy valaki megtudja, az volt a szándékom <vágyakoztam>, hogy megölöm őt. 11. Ódzkodtam elkérni tőle a pénzt. 12. Féltem, hogy ismét ugyanaz történik velünk. 13. Félek, hogy egyesek a szemünkre hányják ... 14. Félek, hogy nem tudunk (majd) hazatérni. 15. Félek, hogy a költői fecsegés rabjává válva hosszan beszélek. 16. Féltünk éjszaka utazni. 17. Félnek, hogy a vezér halott. (Tény!) 18. Hiszen mi van annál fájdalmasabb dolog, mint örökös félelemben élni, hogy valaki a környezetünkből meggyilkol, ráadásul <és> ugyanúgy <nemkevésbé> félni az őröktől, mint a cselszövőktől? 19. Féltünk, hogy bántani akarnak minket. 20. Jogos a félelem, hogy most is ilyen meggondolatlanság áldozataivá <rabjaivá> válunk. 21. Félek, hogy nagyon messzire kalandozom a tárgytól. 22. Féltek, hogy egyszer maga a király indít hadjáratot, és hatalmába keríti a területet. 23. Tartok tőle, hogy az ilyen beszéd falra hányt borsó <Félek, hogy az ilyesféléket hiába mondjunk>. 24. Nagyon tartok tőle, hogy ez igaz. (Tény!)

III. Egészítse ki az alábbi mondatokat a megadott igék megfelelő alakjaival!

1. Ὁ δὲ Σιλανὸς δεδιὼς μὴ (γίγνομαι) ... ταῦτα καὶ (καταμένω) ... που ἡ στρατιά, ἐκφέρει εἰς τὸ στράτευμα λόγον ὅτι Ξενοφῶν βούλεται καταμεῖναι τὴν στρατιὰν καὶ πόλιν οἰκίσαι καὶ ἑαυτῷ ὄνομα καὶ δύναμιν περιποιήσασθαι.

2. Ἐγὼ δ' αὐτὸ τοῦτο φοβοῦμαι, μὴ διὰ τὴν ἀπειρίαν οὐ (δύναμαι) ... δηλῶσαι περὶ τῶν πραγμάτων ὑμῖν.

3. Φοβοῦμαι μὴ τῇ προθυμίᾳ τοὐναντίον οὗ δεῖ (ποιέω sg.1.) ...

4. Ἀλλὰ μήν, εἰ τοῦτο γενήσεται, δέδοικ', ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τὸν αὐτὸν τρόπον ὥσπερ οἱ δανειζόμενοι ῥᾳδίως ἐπὶ τοῖς μεγάλοις τόκοις μικρὸν εὐπορήσαντες χρόνον ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστησαν, οὕτω καὶ ἡμεῖς ἐπὶ πολλῷ (φαίνω) ... ἐρρᾳθυμηκότες, καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες πολλὰ καὶ χαλεπὰ ὧν οὐκ ἐβουλόμεθ' ὕστερον εἰς ἀνάγκην (ἔρχομαι) ... ποιεῖν, καὶ (κινδυνεύω) ... περὶ τῶν ἐν αὐτῇ τῇ χώρᾳ.

5. Ἐκπεπληγμένος καὶ περιπαθῶν ἦν, μή τις ὑποψία προδοσίας ἐπ' αὐτὸν (ἔρχομαι) ... τοσούτων ἅμα καὶ τοιούτων πολιτῶν ἀπολομένων.

6. Ἐφοβήθην μὲν γάρ, καὶ ἔτι καὶ νῦν τεθορύβημαι μή τινες ὑμῶν (ἀγνοέω) ... με ψυχαγωγηθέντες τοῖς ἐπιβεβουλευμένοις καὶ κακοήθεσι τούτοις ἀντιθέτοις.

7. Ταῦτα μὲν οὖν μοι δοκῶ καὶ τἆλλα τὰ τούτοις ὅμοια ὑπερβήσεσθαι, οὐ προδιδοὺς ὑμᾶς οὐδὲ τὸν ἀγῶνα καταχαριζόμενος, ἀλλ' ἐκεῖνο φοβούμενος μή μοι παρ' ὑμῶν (ἀπαντάω) ... τὸ δοκεῖν μὲν ἀληθῆ λέγειν, ἀρχαῖα δὲ καὶ λίαν ὁμολογούμενα.

8. Ταῦτα δὲ ποιεῖν ἐτόλμων οὐχ οὕτω τῶν πολεμίων καταφρονοῦντες ὡς πρὸς ἀλλήλους ἀγωνιῶντες, Λακεδαιμόνιοι μὲν ζηλοῦντες τὴν πόλιν τῆς Μαραθῶνι μάχης καὶ ζητοῦντες αὐτοὺς ἐξισῶσαι καὶ δεδιότες μὴ δὶς ἐφεξῆς ἡ πόλις ἡμῶν αἰτία (γίγνομαι) ... τοῖς Ἕλλησιν τῆς σωτηρίας.

9. Οὐ δέδοικα μὴ (φαίνω sg.1.) ... μείζω λέγων τῶν ἐκείνῳ προσόντων, ἀλλὰ μὴ πολὺ λίαν (ἀπολείπω P.sg.1.) ... τῶν πεπραγμένων αὐτῷ.

10. Δέδοικα μὴ τἀναντία πράττοντες (φαίνω pl.1.) ...

11. Μᾶλλον δὲ καὶ περὶ τούτων βούλομαι μικρὰ προειπεῖν· δέδοικα γὰρ μὴ διὰ τὸ πολλοῖς ἐπιτιμᾶν (δοκέω sg.1.) ... τισὶν προῃρῆσθαι τῆς πόλεως κατηγορεῖν.

12. Ἔχοι δ' ἄν τις πλείω περὶ τούτων εἰπεῖν· ἀλλὰ γὰρ ἦν πολλὰ λίαν λέγω περὶ τῶν παρὰ τοῖς πλείστοις ὁμολογουμένων, δέδοικα μὴ περὶ τῶν ἀμφισβητουμένων ἀπορεῖν (δοκέω) ...

17 Következményes mellékmondatok

I. Fordítsa szabatos magyar nyelvre Lysiasnak egy gátlástalan alakról adott jellemzését!

Οἱ δὲ γείτονες οὕτως ὑπ᾽ αὐτοῦ δεινὰ πάσχουσιν ὥστ᾽ ἐκλιπόντες τὰς αὑτῶν οἰκίας ἑτέρας πόρρω μισθοῦνται. ὅσους δ᾽ ἐράνους συνείλεκται, τὰς μὲν ὑπολοίπους φορὰς οὐ κατατίθησιν, ἀλλὰ περὶ τοῦτον τὸν κάπηλον ὡς περὶ στήλην διαφθείρονται. τοσοῦτοι δὲ ἐπὶ τὴν οἰκίαν ἅμα τῇ ἡμέρᾳ ἀπαιτήσοντες τὰ ὀφειλόμενα ἔρχονται ὥστε οἴεσθαι τοὺς παριόντας ἐπ᾽ ἐκφορὰν αὐτοὺς ἥκειν τούτου τεθνεῶτος. οὕτω δ᾽ οἱ ἐν τῷ Πειραιεῖ διάκεινται ὥστε πολὺ ἀσφαλέστερον εἶναι δοκεῖν εἰς τὸν Ἀδρίαν πλεῖν ἢ τούτῳ συμβάλλειν. πολὺ γὰρ μᾶλλον ἃ ἂν δανείσηται αὐτοῦ νομίζει εἶναι ἢ ἃ ὁ πατὴρ αὐτῷ κατέλιπεν. ἀλλὰ γὰρ οὐ τὴν οὐσίαν κέκτηται Ἑρμαίου τοῦ μυροπώλου, τὴν γυναῖκα διαφθείρας ἑβδομήκοντα ἔτη γεγονυῖαν; ἧς ἐρᾶν προσποιησάμενος οὕτω διέθηκεν ὥστε τὸν μὲν ἄνδρα αὐτῆς καὶ τοὺς υἱοὺς πτωχοὺς ἐποίησεν, αὐτὸν δὲ ἀντὶ καπήλου μυροπώλην ἀπέδειξεν· οὕτως ἐρωτικῶς τὸ κόριον μετεχειρίζετο τῆς ἡλικίας αὐτῆς ἀπολαύων, ἧς ῥᾷον τοὺς ὀδόντας ἀριθμῆσαι ἢ τῆς χειρὸς τοὺς δακτύλους. καί μοι ἀνάβητε τούτων μάρτυρες.

A következményes mellékmondatokban általában ὥστε, (ὡς) kötőszóval infinitivust (acc. cum inf.) használnak, a tagadás μή-vel történik, de ha a következményképpen bekövetkező esemény különösen hangsúlyos, akkor indicativus áll, a tagadás pedig οὐ-val történik. Tagadott οὕτω után a mellékmondatban mindig infinitivus áll.

Οὐχ οὕτω μῶρος ἦν ὥστε ἐκείνῳ πείθεσθαι.	Nem voltam olyan bolond, hogy engedelmeskedjem neki.
Οὕτω ταχέως ἔδραμον ὥστε μηδένα αὐτοὺς λαβεῖν.	Olyan gyorsan futottak, hogy senki nem fogta el őket.
Οὐκ ἦλθεν· ὥστε πάντες ἐθαύμαζον.	Nem jött el, így mindenki csodálkozott.

A ὥστε kötőszó minden esetben indicativusszal áll a τοσούτου δέω, εἰς τοσοῦτον … (gen.) ἐλθεῖν kifejezések után:

Τοσούτου δέω ὑμᾶς ἐπαινεῖν, ὥστε πάνυ μέμφομαι.	Oly távol áll tőlem, hogy dicsérjelek titeket, hogy bizony kárhoztatlak benneteket.
Εἰς τοσοῦτον ὕβρεως ἦλθον ὥστ᾽ ἔπεισαν ὑμᾶς καὶ τιμᾶν αὐτόν.	A gőg olyan fokára jutottak, hogy meggyőztek benneteket arról, hogy tiszteljétek is őt.

A ὥστε helyett áll ἐφ᾽ ᾧ, ἐφ᾽ ᾧτε ‘azzal a feltétellel’ jelentésben vagy infinitivusszal (acc.c.inf.), vagy a futurum indicativusával, tagadása mindig μή-vel.

Συνέβησαν ἐφ᾽ ᾧτε ἐξιέναι (ἐξίασιν) ἐκ Πελοποννήσου.	Megegyeztek azzal a feltétellel, hogy elhagyják a Peloponnésost.

Megjegyzendő, hogy az ἢ ὥστε által kifejezett összehasonlítás ‘(nagyobb / kisebb) ... mintsem, hogy ...’; ‘semmint, hogy ...’ mindig infinitivusszal áll.

Μεῖζόν ἐστι τὸ κακὸν ἢ ὥστε φέρειν δύνασθαι.	A baj nagyobb, mintsem el lehetne viselni.

II. Fordítsa az alábbi mondatokat görögre!

1. A tanárok olyan szegények voltak, hogy mindig pénzt akartak kapni. 2. Közelebb vagyunk az ellenséghez, mintsem hogy itt letáborozzunk. 3. Bárki érkezett hozzá a nagykirálytól, mindenkivel úgy bánt, hogy amikor visszaküldte <olyan állapotba hozva küldte vissza> őket, inkább voltak az ő, mint a nagykirály barátai. 4. Azzal a feltétellel fogom ezt megtenni, hogy nem mondod el senkinek. 5. Nagy fahasábokat dobáltak felülről, így maradni is és elmenni is nehéz volt. 6. Józanabb volt annál, (mintsem) hogy gyalázza a bírót. 7. Amiképpen a nemzetségük hazájukban a legelőkelőbb, úgy városuk is a legfényesebb Hellásban, így hát nem a másodrendűek <másodikok> között elsők, hanem a vezetőket vezetik. 8. Kimenekültek a házból, (így) nem égtek meg. 9. Sokan, akik a szabadságra vágyakoztak, át is álltak hozzá, így Agésilaos már nemcsak a helléneknek, hanem sok barbárnak is vezére volt. 10. Soha senkit nem hallottam és nem is láttam, aki olyan gőgös lett <gőg olyan fokán állt> (volna), hogy ilyesmit tegyen. 11. Vitézebbek voltak, mintsem hogy féljék a halált. 12. Olyan kapzsi volt, hogy még a tanárokat is megfosztotta bérüktől. 13. Azzal a feltétellel fogom megengedni, hogy használd ezeket a könyveket, (ha) hamarosan visszaadod őket nekem. 14. Olyan szívós volt, hogy képes volt elviselni az összes megpróbáltatást. 15. Árulónak bizonyult, így a hadvezér megparancsolta, hogy öljék meg. 16. Néhányan oly bátrak, hogy nem félnek a farkastól. 17. Annyira rettegett a sereg, hogy a vezér nem mert támadni. 18. Előfordult olykor az is, hogy a barbárok éppen azoknak okoztak nagy nehézségeket (amikor) ismét leereszkedtek, akik (korábban) fölkapaszkodtak, ugyanis fürgék voltak, így ha közelről futottak meg, akkor is elmenekültek. 19. A spártaiak észrevették, hogy kisebb az ereje, (mintsem) hogy segítse barátait. 20. Démosthenés olyan jól beszélt, hogy gyakran meggyőzte az athéniakat, akaratuk ellenére. 21. A flotta gyengébb volt, mintsem hogy kihajóz(hat)ott (volna) a kikötőből. 22. Abban az esetben, ha visszaadod nekem a pénzt, nem foglak vádolni. 23. Sokkal fiatalabb vagyok, (mintsem) hogy megfelelő módon elégtételt tudnék szerezni magamnak. 24. Olyan komoly volt a veszély, hogy a thébaiak haza akartak menni. 25. Remélem, úgy fogsz beszélni, hogy meggyőzöd őket. 26. Annyi hadtápot szállítottak a városba, hogy három évig kitartottak. 27. Fülöp olyan kitartóan tartotta ostromzár alatt Olynthost, hogy a polgárok nem tudtak már hadtápot szerezni. 28. Az athéniak annyi pénzt elköltöttek Démosthenés idejében, hogy nem volt zsoldjuk a katonák számára. 29. Olyannyira letörtek az athéniak, hogy hazahívták Alkibiádést.

III. Fordítsa szabatos magyar nyelvre az alábbi mondatokat!

1. Οὕτος Κύρῳ εἶπεν, εἰ αὐτῷ δοίη ἱππέας χιλίους, ὅτι τοὺς προκατακαίοντας ἱππέας ἢ κατακαίνοι ἂν ἐνεδρεύσας ἢ ζῶντας πολλοὺς αὐτῶν ἂν ἕλοι καὶ κωλύσειε τοῦ καίειν ἐπιόντας, καὶ ποιήσειεν ὥστε μήποτε δύνασθαι αὐτοὺς ἰδόντας τὸ Κύρου στράτευμα βασιλεῖ διαγγεῖλαι.

2. Ἐγὼ αὐτὸν προσπολεμῶν ἐποίησα ὥστε δόξαι τούτῳ τοῦ πρὸς ἐμὲ πολέμου παύσασθαι, καὶ δεξιὰν ἔλαβον καὶ ἔδωκα.

3. Ἀλλ᾽ ἡ μὲν ἡμῶν μοῖρ᾽ ὅποιπερ εἶσ᾽ ἴτω·

παίδων δὲ τῶν μὲν ἀρσένων μή μοι, Κρέων,
προσθῇ μέριμναν· ἄνδρες εἰσίν, ὥστε μὴ
σπάνιν ποτὲ σχεῖν, ἔνθ' ἂν ὦσι, τοῦ βίου.

4. Ἐὰν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι οἵ σε περὶ πολλοῦ ποιήσονται καὶ ἀσφάλειάν σοι παρέξονται, ὥστε σε μηδένα λυπεῖν τῶν κατὰ Θετταλίαν.

5. Κραυγὴν πολλὴν ἐποίουν καλοῦντες ἀλλήλους, ὥστε καὶ τοὺς πολεμίους ἀκούειν· ὥστε οἱ μὲν ἐγγύτατα τῶν πολεμίων καὶ ἔφυγον ἐκ τῶν σκηνωμάτων. δῆλον δὲ τοῦτο τῇ ὑστεραίᾳ ἐγένετο.

6. Κατατίθησιν αὐτῆς τὰς εἴκοσι μνᾶς τῷ Εὐκράτει καὶ τῷ Τιμανορίδᾳ ἐπ' ἐλευθερίᾳ καὶ ἐφ' ᾧ ἐν Κορίνθῳ μὴ ἐργάζεσθαι.

7. Πολλῶν δὲ καὶ δεινῶν ὑπαρχόντων τοὺς μὲν παῖδας αὐτῶν ζηλῶ, ὅτι νεώτεροί εἰσιν ἢ ὥστε εἰδέναι οἷων πατέρων ἐστέρηνται, ἐξ ὧν δ' οὗτοι γεγόνασιν, οἰκτίρω, ὅτι πρεσβύτεροι ἢ ὥστε ἐπιλαθέσθαι τῆς δυστυχίας τῆς ἑαυτῶν.

8. Φησὶ μὲν γὰρ οὐ πολεμεῖν, ἐγὼ δὲ τοσούτου δέω ταῦτα ποιοῦντ' ἐκεῖνον ἄγειν ὁμολογεῖν τὴν πρὸς ὑμᾶς εἰρήνην, ὥστε καὶ Μεγάρων ἁπτόμενον κἂν Εὐβοίᾳ τυραννίδα κατασκευάζοντα καὶ νῦν ἐπὶ Θρᾴκην παριόντα καὶ τἀν Πελοποννήσῳ σκευωρούμενον καὶ πάνθ' ὅσα πράττει μετὰ τῆς δυνάμεως ποιοῦντα, λύειν φημὶ τὴν εἰρήνην καὶ πολεμεῖν ὑμῖν, εἰ μὴ καὶ τοὺς τὰ μηχανήματ' ἐφιστάντας εἰρήνην ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν ἤδη προσαγάγωσιν. ἀλλ' οὐ φήσετε· ὁ γὰρ οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ.

9. Démosthenés feddi / dicséri az athéniakat: a ... olyan fokán (álltok), hogy ... / annyira ... , hogy (ebből következően) ...

ὑμεῖς μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πάντες
εἰς τοσοῦτον ἀφῖχθε, προῆχθε
φιλανθρωπίας καὶ εὐσεβείας
εὐηθείας καὶ ῥᾳθυμίας
ἀναισθησίας
ὥστε
καὶ τῶν πρότερον γεγενημένων ἀδικημάτων
τὸ λαμβάνειν δίκην ἐπέσχετε ταύτας τὰς ἡμέρας.

18 Vonatkozó mellékmondatok I.

Kijelentő, felszólító és kívánó értelmű mellékmondatok, az attractio

I. Fordítsa szabatos magyar nyelvre Sókratésnek Glaukónhoz intézett tanácsait a valódi tudás fontosságáról!

Φυλάττου, ἔφη, ὦ Γλαύκων, ὅπως μὴ τοῦ εὐδοξεῖν ἐπιθυμῶν εἰς τοὐναντίον ἔλθῃς. ἢ οὐχ ὁρᾷς ὡς σφαλερόν ἐστι τό, ἃ μὴ οἴδέ τις, ταῦτα ἢ λέγειν ἢ πράττειν· ἐνθυμοῦ δὲ τῶν ἄλλων, ὅσους οἴσθα τοιούτους, οἵοι φαίνονται καὶ λέγοντες ἃ μὴ ἴσασι καὶ πράττοντες, πότερά σοι δοκοῦσιν ἐπὶ τοῖς τοιούτοις ἐπαίνου μᾶλλον ἢ ψόγου τυγχάνειν καὶ πότερον θαυμάζεσθαι μᾶλλον ἢ καταφρονεῖσθαι· ἐνθυμοῦ δὲ καὶ τῶν εἰδότων ὅ τι τε λέγουσι καὶ ὅ τι ποιοῦσι· καί, ὡς ἐγὼ νομίζω, εὑρήσεις ἐν πᾶσιν ἔργοις τοὺς μὲν εὐδοκιμοῦντάς τε καὶ θαυμαζομένους ἐκ τῶν μάλιστα ἐπισταμένων ὄντας, τοὺς δὲ κακοδοξοῦντάς τε καὶ καταφρονουμένους ἐκ τῶν ἀμαθεστάτων. εἰ οὖν ἐπιθυμεῖς εὐδοκιμεῖν τε καὶ θαυμάζεσθαι ἐν τῇ πόλει, πειρῶ κατεργάσασθαι ὡς μάλιστα τὸ εἰδέναι ἃ βούλει πράττειν· ἐὰν γὰρ τούτῳ διενέγκας τῶν ἄλλων ἐπιχειρῇς τὰ τῆς πόλεως πράττειν, οὐκ ἂν θαυμάσαιμι εἰ πάνυ ῥᾳδίως τύχοις ὧν ἐπιθυμεῖς.

A vonatkozó mellékmondatok vonatkozó névmásokkal vagy névmási határozószókkal kapcsolódnak a főmondathoz.

A kijelentő, felszólító és kívánó értelmű mellékmondatok önálló főmondatokként viselkednek, ennek megfelelő a módhasználatuk. Az attractio jelensége az, amikor a vonatkozó névmás felveszi a főmondatban álló vonatkozószó esetét is annak neme és száma mellett. Ha mutatónévmás a vonatkozószó, akkor az attractio jelensége során eltűnhet, hangsúlyos esetben megmarad. Az attractio során leggyakrabban a vonatkozószó genitivusa kerül át a vonatkozó névmás accusativusára.

Καὶ ὁ Κῦρος ἀπέπεμπε τοὺς γιγνομένους δασμοὺς βασιλεῖ ἐκ τῶν πόλεων ὧν Τισσαφέρνους ἐτύγχανεν ἔχων. ἐκ τῶν πόλεων ἃς . . . ἔχων	Kyros is megküldte a nagykirálynak az adókat, amelyek azokból a városokból folytak be, amelyek történetesen Tissaphernésé voltak.
Οὔτε ἃ δεῖ πράττειν οὔτε ὧν δεῖ ἀπέχεσθαι δύνανται. οὔτε ταῦτα ἃ δεῖ . . . οὔτε τουτῶν ὧν	Sem arra nem képesek, hogy azt tegyék, amit kell, sem arra, hogy távol tartsák magukat attól, amitől kell.

Ha a vonatkozószó főnév, akkor az attractio során gyakran elveszíti névelőjét, és a mellékmondat végére kerül:

Οὓς ἑώρα ὁ Κῦρος ἐθέλοντας κινδυνεύειν, τούτους καὶ ἄρχοντας ἐποίει ἧς κατεστρέφετο χώρας.	Kyros akikről látta, hogy önként vállalják a veszélyt, azokat annak a területnek, amit meghódított, akár a parancsnokaivá is kinevezte.

II. Fordítsa görögre az alábbi mondatokat!

1. Amint észrevette, hogy Kyros elesett, elmenekült a teljes sereggel együtt, amelynek a parancsnoka volt <vezetett>. 2. Hiszen jól tudjátok, hogy a szabadságot választanám cserébe mindazért, amim van, sőt még sokkal többért is. 3. A hadtápot jobb volt arról a piacról beszerezni <venni>, amit a helybeliek tartottak. 4. Minthogy csaknem egész Hellás összesereglett és felsorakozva állt (a csatatéren), kivétel nélkül mindenki azt gondolta <senki nem volt, aki nem>, ha ütközet lesz, a győztesek uralkodni fognak, a vesztesek pedig alávetettek lesznek. 5. Volt ott még más hatezer lovas, akiket Artagersés irányított. 6. A falu fölött volt egy domb, amire a király kísérete visszavonult. 7. Tissaphernés amire megesküdött, rögtön meghazudtolta. 8. Ezektől a bajoktól kivétel nélkül mindenki <senki, aki nem> mentes lesz, (ha) megszívleli (azt), amit én tanácsolok. 9. Én legalábbis (abból), amit hallok úgy ítélem meg, hogy senki (mást) nem vett körül több (ember) szeretete. 10. Kyros azt ígéri, hogy annak, amit korábban kaptak, a másfélszeresét fogja mindekinek adni, közkatonának havonta egy dareikos helyett három féldareikost. 11. (Mivel) ilyen helyzetben vagyunk, tanácsot kérünk tőled, hogy mit kell tenni azokkal kapcsolatban, amikről beszélsz. 12. Legyetek hát méltók a szabadságra, ami a tiétek, és amiért én boldognak tartalak benneteket. 13. Kyrosnak volt ott egy palotája és egy nagy vadasparkja teli vadakkal, amikre lóhátról <ő> szokott vadászni, amikor (csak) magát és a lovait edzeni akarta. 14. De hiszen az, amit te mondasz, véleményem szerint igazán csekély(ség). 15. Az istenekre, adj nekünk tanácsot, ami (csak) szerinted a legjobb és leghelyesebb! 16. Tudom az (utat), amerre mennek. 17. Tissaphernés nagy sereget kért <küldetett érte> a nagykirálytól annak kiegészítésére <ahhoz>, ami korábban volt neki. 18. Azoknak a városoknak, amelyekbe be kellett vonulnia, megüzente, hogy biztosítsanak piacot. 19. Miután átkelt a Helléspontoson, ugyanazokon a népeken át vezetett az útja, amelyeken a perzsa is (vonult) mérhetetlen seregével. 20. Az utat, amit a barbár egy év alatt tett meg, Agésilaos kevesebb, mint egy hónap alatt leküzdötte.

III. Fordítsa szabatos magyar nyelvre az alábbi hely- és időhatározói mellékmondatokat, amelyek általánosságban a vonatkozó mellékmondatok közé is sorolhatók!

1. Ταρσοί, τῆς Κιλικίας πόλις μεγάλη καὶ εὐδαίμων, οὗ ἦν τὰ Συεννέσιος βασίλεια τοῦ Κιλίκων βασιλέως.

2. Ἐὰν δὲ μὴ τὸ πλῆθος, ἀλλ', ὥσπερ ὅπου ὀλιγαρχία ἐστίν, ὀλίγοι συνελθόντες γράψωσιν ὅ τι χρὴ ποιεῖν, ταῦτα τί ἐστι;

3. Καὶ ἐπεὶ ἐγένοντο ἐπὶ τῆς κορυφῆς τοῦ μαστοῦ ἀφ' οὗ Ξενοφῶν κατέβαινεν, ἐκυλίνδουν πέτρους.

4. Ἔνθα δὲ τὸ πῦρ ἐκαίετο, διατηκομένης τῆς χιόνος βόθροι ἐγένοντο μεγάλοι ἔστε ἐπὶ τὸ δάπεδον· οὗ δὴ παρῆν μετρεῖν τὸ βάθος τῆς χιόνος.

5. Ἐδίδαξεν αὐτοὺς ἡ ἀνάγκη κατασκηνῆσαι οὗ πρῶτον εἶδον κώμην καὶ μὴ πορεύεσθαι ἔτι μαχομένους.

6. Ἀλλ᾽ οὐ πολλαὶ ἡμέραι ἀφ᾽ οὗ ἀντιταξάμενοι τούτοις τοῖς ἐκείνων ἐκγόνοις πολλαπλασίους ὑμῶν αὐτῶν ἐνικᾶτε σὺν τοῖς θεοῖς.

IV. Oldja föl az attractiót, majd fordítsa szabatos magyar nyelvre az alábbi mondatokat!

1. Πέπεισμαι γὰρ ἐξ ὧν παρὼν καὶ ἀκούων σύνοιδα, τὰ πλείω τῶν πραγμάτων ἡμᾶς ἐκπεφευγέναι τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν ἢ τῷ μὴ συνιέναι.

2. Δέδοικ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες πολλὰ καὶ χαλεπὰ ὧν οὐκ ἐβουλόμεθ᾽ ὕστερον εἰς ἀνάγκην ἔλθωμεν ποιεῖν.

3. Ἐπειδὴ δὲ Κῦρος ἐκάλει, λαβὼν ὑμᾶς ἐπορευόμην, ἵνα εἴ τι δέοιτο ὠφελοίην αὐτὸν ἀνθ᾽ ὧν εὖ ἔπαθον ὑπ᾽ ἐκείνου.

4. Οὐ μὴν οὐδ᾽ ἐκεῖνό γ᾽ ὑμᾶς ἀγνοεῖν δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι ψήφισμ᾽ οὐδενὸς ἄξιόν ἐστιν, ἂν μὴ προσγένηται τὸ ποιεῖν ἐθέλειν τά γε δόξαντα προθύμως. εἰ γὰρ αὐτάρκη τὰ ψηφίσματ᾽ ἦν ἢ ὑμᾶς ἀναγκάζειν ἃ προσήκει πράττειν ἢ περὶ ὧν γραφείη διαπράξασθαι, οὔτ᾽ ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι μικρά, μᾶλλον δ᾽ οὐδὲν ἐπράττετε τούτων, οὔτε Φίλιππος τοσοῦτον ὑβρίκει χρόνον· πάλαι γὰρ ἂν εἵνεκά γε ψηφισμάτων ἐδεδώκει δίκην.

5. Πόθ᾽ ἃ δεῖ πράξετ᾽, εἰ μὴ νῦν;

19 Vonatkozó mellékmondatok II.

Okhatározó, célhatározó, következményes és feltételes értelmű mellékmondatok

I. Fordítsa szabatos magyar nyelvre Xenophón Kyros neveltetése című művének alábbi részletét! Kyros a hű Pantheiát igyekszik megvigasztalni, aki a csatában elesett Abradatas holtteste mellett térdel.

Ἔπειτα δ', ἔφη, ἴσθι ὅτι οὐδὲ τὰ ἄλλα ἄτιμος ἔσται, ἀλλὰ καὶ τὸ μνῆμα πολλοὶ χώσουσιν ἀξίως ἡμῶν καὶ ἐπισφαγήσεται αὐτῷ ὅσα εἰκὸς ἀνδρὶ ἀγαθῷ. καὶ σὺ δ', ἔφη, οὐκ ἔρημος ἔσῃ, ἀλλ' ἐγώ σε καὶ σωφροσύνης ἕνεκα καὶ πάσης ἀρετῆς καὶ τἆλλα τιμήσω καὶ συστήσω ὅστις ἀποκομιεῖ σε ὅποι ἂν αὐτὴ ἐθέλῃς· μόνον, ἔφη, δήλωσον πρὸς ἐμὲ πρὸς ὅντινα χρῄζεις κομισθῆναι. καὶ ἡ Πάνθεια εἶπεν· Ἀλλὰ θάρρει, ἔφη, ὦ Κῦρε, οὐ μή σε κρύψω πρὸς ὅντινα βούλομαι ἀφικέσθαι. ὁ μὲν δὴ ταῦτ' εἰπὼν ἀπῄει, κατοικτίρων τήν τε γυναῖκα οἵου ἀνδρὸς στέροιτο καὶ τὸν ἄνδρα οἵαν γυναῖκα καταλιπὼν οὐκέτ' ὄψοιτο. ἡ δὲ γυνὴ ... σφάττει ἑαυτὴν καὶ ἐπιθεῖσα ἐπὶ τὰ στέρνα τοῦ ἀνδρὸς τὴν ἑαυτῆς κεφαλὴν ἀπέθνῃσκεν.

Azok a vonatkozó mellékmondatok, amelyek okhatározó, illetve következményes értelemmel rendelkeznek, semmiben sem különböznek a kijelentő értelmű vonatkozó mellékmondatoktól. Tagadásuk is οὐ - val történik. Felismerésük a szövegkörnyezet, az írói szándék pontos megértésétől függ.

Ἔοικεν, ἔφη, ὦ Ἱέρων, μέγα τι εἶναι ἡ τιμή, ἧς ὀρεγόμενοι οἱ ἄνθρωποι πάντα μὲν πόνον ὑποδύονται, πάντα δὲ κίνδυνον ὑπομένουσι.	Alighanem, Hierón, mondta, a hatalom valami nagy dolog, mert az emberek, ha erre törekednek, minden megpróbáltatást vállalnak, és minden veszéllyel szembenéznek.

A célhatározó értelmű vonatkozó mellékmondatokban is indicativus áll, de jobbára futurumban (cf.: célhatározói mellékmondatok). Tagadása μή -vel történik.

Συμβουλεύω ἡγεμόνα αἰτεῖν Κῦρον ὅστις διὰ τῆς χώρας ἀπάξει.	Azt javaslom, kérjünk vezetőt Kyrostól, hogy átvezessen a területen.

A feltételes értelmű vonatkozói mellékmondatokban a feltételes periódus különböző casusai vannak jelen. Leggyakrabban casus iterativusszal találkozunk, mind az általános érvényű jelen, mind pedig a múlt idő tekintetében. A casusok felismerése a ὅς, ὅστις = εἴ τις megfeleltetésen múlik. Tagadása μή -vel történik.

Οὐδενὶ φασι πολέμιοι ἥκειν, ὅστις μὴ πολέμου ἐρᾷ.	Azt mondják, ha valaki nem szereti a háborút, arra nem jön ellenség.
Ὑμῖν ἔξεστιν πορεύεσθαι ὅπῃ ἂν ἕλησθε καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.	Lehetőségetek van oda menni, ahová éppen kívántok, szárazföldön is és tengeren is.

II. Fordítsa az alábbi mondatokat görögre!

1. Ezek mind törvények, (mert) ezeket a nép összegyülekezve megvitatta <kivizsgálva> és írásba foglalta, meghatározva azt, amit szabad tenni és azt, amit nem. 2. Agésilaos, ha valahol <ahol csak> úgy gondolta, hogy hazájának fog valamilyen szolgálatot tenni, nem adta fel a küszködést, nem hátrált meg a veszélyek elől, nem kímélte a pénzt, nem hivatkozott sem a test(i fáradtság)ra, sem az öregségre. 3. Benneteket foglak tehát választani, és veletek szenvedem el, amit csak el kell (szenvedni). 4. Véleményem szerint minden ember úgy tartja, hogy akitől az ember ajándékot kap, iránta jószándékkal kell lenni(e). 5. Szemei tágra nyíltak <voltak>, ruhája pedig (olyan volt), amiből leginkább villanhat ki <átsejlik> érett szépsége. 6. Ha valaki történetesen nem tudott úszni, megfulladt. 7. Ha az ember valamit nem tud, hogyan lehetne abban bölcs? 8. Bármerre járunk, elfoglaljuk a vidéket. 9. Azt mondogatta, hogy a daimonion előre jelzi neki azt is, amit kell, és azt is, amit nem kell tenni. 10. Kényszeríteni fog, hogy azt tegyük, ami csak tetszik neki. 11. Bármit tegyél is, azzal a lehető legnagyobb igyekezettel kell törődni. 12. Közületek is mondja meg mindenki, ha van valami hasznos (tanácsa). 13. Bármilyenek is a zablák, legyenek hajlékonyak. A ló ugyanis a merevet, ahogyan éppen megragadja, teljes egészében a pofájához szorítja <bírja>, ahogy a bot (esetében) is, bárhonnan ragadja meg az ember, az egészet emeli fel. 14. Ha tanácsot adnál nekem, hogy milyen tevékenységgel gyarapíthatnám a házamat, nem hiszem, hogy ezek, akiket te úrnőknek nevezel, megakadályoznának ebben. Rajta hát, bátran adj tanácsot, ha van valami jó (javaslatod). 15. Ha valakiről látta, hogy igazságos úton-módon ügyes gazda, megszervezi a területet, amit irányít, és jövedelmet termel, általában senkitől nem vonta (ezt) meg, sőt örökösen gyarapította (birtokait). 16. Kyros sokat ér, ha valakinek a barátja, de a legsúlyosabb ellenség, ha valakivel szemben áll, (olyan) gyalogsága, lovassága és haditengerészete van, amit mindannyian egyformán látunk és ismerünk. 17. Kyros tartományában <megvalósult az>, ha nem követett el jogsértést, félelem nélkül utazhatott hellén és barbár egyaránt (oda), ahová csak akart, magával víve azt, ami éppen kedvére való volt. 18. Hát nem tartanál el akár egy embert is, ha ez a valaki akarná is és képes is lenne arra, hogy távol tartsa tőled azokat, akik megpróbálnak igazságtalanságot elkövetni ellened? 19. Ha valaki tehát közületek szakértő gazda, vagy belevaló népvezér, vagy hozzáértő hadúr akar lenni, vagy hasonló akar lenni Akhilleushoz, vagy Aiashoz, vagy Nestorhoz, vagy Odysseushoz, az az én kedvem keresse. Mert én mindezt tudom. 20. Azokat a bölcselőket, akik ugyanígy pénzért árulják a bölcsességet az erre igényt tartóknak, éppen úgy hímringyóknak hívják, az azonban, aki fölismeri valakiről, hogy tehetséges, és megtanítva arra, ami jó csak van benne <bír> a barátjává teszi, erről úgy tartjuk, hogy azt teszi, ami egy derék polgárhoz illik.

III. Egészítse ki az alábbi mondatokat a megfelelő vonatkozó névmásokkal és névmási határozószókkal!

1. Ἐγὼ σὺν ὑμῖν ἕφομαι καὶ ... ἂν δέῃ πείσομαι. νομίζω γὰρ ὑμᾶς ἐμοὶ εἶναι καὶ πατρίδα καὶ φίλους καὶ συμμάχους, καὶ σὺν ὑμῖν μὲν ἂν οἶμαι εἶναι τίμιος ... ἂν ὦ, ὑμῶν δὲ ἔρημος ὢν οὐκ ἂν ἱκανὸς οἶμαι εἶναι οὔτ' ἂν φίλον ὠφελῆσαι οὔτ' ἂν ἐχθρὸν ἀλέξασθαι. ὡς ἐμοῦ οὖν ἰόντος ... ἂν καὶ ὑμεῖς οὕτω τὴν γνώμην ἔχετε.

2. Τῇ δὲ ὑστεραίᾳ ἄνευ ἡγεμόνος ἐπορεύοντο· μαχόμενοι δ' οἱ πολέμιοι καὶ ... εἴη στενὸν χωρίον προκαταλαμβάνοντες ἐκώλυον τὰς παρόδους.

3. Τὸ δὲ ... ἂν ἐρᾷ τις τούτῳ ἥδεσθαι ἀνιωμένῳ καὶ φιλοῦντα μισεῖσθαι καὶ ἅπτε-

σθαι ἀχθομένου, πῶς οὐχὶ τοῦτο ἤδη δυσχερὲς τὸ πάθημα καὶ οἰκτρόν;

4. Μέμνημαι γάρ, ἔφη, ἀκούσας ποτέ σου ὅτι εἰκότως ἂν καὶ παρὰ θεῶν πρακτικώτερος εἴη ὥσπερ καὶ παρ' ἀνθρώπων ... μὴ ὁπότε ἐν ἀπόροις εἴη, τότε κολακεύοι, ἀλλ' ὅτε τὰ ἄριστα πράττοι, τότε μάλιστα τῶν θεῶν μεμνῆτο.

5. Ὡς δὲ συνελόντι εἰπεῖν, ... εὔπους μὲν εἴη, πρᾷος δέ, ἀρκούντως δὲ ποδώκης, ἐθέλοι δὲ καὶ δύναιτο πόνους ὑποφέρειν, πείθοιτο δὲ μάλιστα, οὗτος ἂν εἰκότως ἀλυπότατός τ' εἴη καὶ σωτηριώτατος τῷ ἀναβάτῃ ἐν τοῖς πολεμικοῖς.

6. Πλοῖα δ' ὑμῖν πάρεστιν, ὥστε ... ἂν βούλησθε ἐξαίφνης ἂν ἐπιπέσοιτε.

7. Εἰπέ μοι, πότερά σοι δοκοῦσιν οἱ σοφοί, ... ἐπίστανται, ταῦτα σοφοὶ εἶναι, ἢ εἰσί τινες ... μὴ ἐπίστανται σοφοί;

8. ... μὲν γὰρ ὁ ἵππος ἀναγκαζόμενος ποιεῖ, ὥσπερ καὶ Σίμων λέγει, οὔτ' ἐπίσταται οὔτε καλά ἐστιν οὐδὲν μᾶλλον ἢ εἴ τις ὀρχηστὴν μαστιγῶν καὶ κεντρίζων ῥυθμίζοι.

9. Πάντα ... ἂν τὸ κρατοῦν τῆς πόλεως βουλευσάμενον, ... χρὴ ποιεῖν, γράψῃ, νόμος καλεῖται. Κἂν τύραννος οὖν κρατῶν τῆς πόλεως γράψῃ τοῖς πολίταις ... χρὴ ποιεῖν, καὶ ταῦτα νόμος ἐστί· Καὶ ... τύραννος ἄρχων, γράφει, καὶ ταῦτα νόμος καλεῖται.

10. Καὶ γὰρ δὴ οἱ μὲν ἄλλοι τεχνῖται ἀποκρύπτονταί πως τὰ ἐπικαιριώτατα ... ἕκαστος ἔχει τέχνης, τῶν δὲ γεωργῶν ὁ κάλλιστα μὲν φυτεύων μάλιστ' ἂν ἥδοιτο, εἴ τις αὐτὸν θεῷτο, ὁ κάλλιστα δὲ σπείρων ὡσαύτως· ... δὲ ἔροιο τῶν καλῶς πεποιημένων, οὐδὲν ... ἄν σε ἀποκρύψαιτο ὅπως ἐποίησεν. οὕτω καὶ τὰ ἤθη, ὦ Σώκρατες, ἔφη, γενναιοτάτους τοὺς αὐτῇ συνόντας ἡ γεωργία ἔοικε παρέχεσθαι.

20 Függő beszéd (oratio obliqua)

Egyenes beszéd függő helyzetbe kerülése után a főmondatok sajátosságuknak megfelelően a kijelentő, fölszólító, illetve kérdő alanyi és tárgyi mellékmondatok igemódjait vagy szerkezetét mutatják (cf.: kijelentő és kérdő alanyi és tárgyi mellékmondatok). Megjegyzendő, hogy a fölszólítást, parancsot, vagy óhajt tartalmazó kívánó mondatok állítmánya mindig infinitivusba kerül. Egyenes beszéd függő helyzetbe kerülése után a mellékmondatok megtarthatják igemódjukat, de a függő beszédet 'keretező' mondat praeterituma után e mellékmondatok indicativusai és a coniunctivusai az ἄν elhagyásával optativus obliquusba is kerülhetnek (kivéve a praeteritumi alakok, így az irreális alakok is). Az egyenes beszéd személy, idő- és helyviszonyai a megváltozott szövegkörnyezethez igazodnak.

Amikor pedig stratégos volt	Στρατηγῶν δὲ
Anytos azt mondta, hogy nem	Ἄνυτος οὐκ ἔφη
kell,	χρῆναι
hogy ezt tegyék	ποιεῖν αὐτοὺς ταῦτα,
azzal érvelt, hogy	λέγων ὅτι
még nincsenek abban a helyzetben,	οὕπω οὕτω διακέοιντο,
hogy bosszút álljanak egyes ellenségeiken,	ὥστε τιμωρεῖσθαί τινας τῶν ἐχθρῶν,
hanem most nyugton kell maradniuk,	ἀλλὰ νῦν μὲν δεῖν αὐτοὺς ἡσυχίαν ἔχειν·
ha pedig egyszer hazatérnek,	εἰ δέ ποτε οἴκαδε κατέλθοιεν,
akkor majd bosszút fognak állni	τότε καὶ τιμωρήσοιντο τοὺς ἀδικοῦντας.
a törvénytiprókon.	

I. Tegye az alábbi idézeteket függő beszédbe!

1. Θηραμένης εἶπεν·
οὐδέν μοι μέλει τοῦ ὑμετέρου θορύβου, ἐπειδὴ πολλοὺς μὲν Ἀθηναίων οἶδα τοὺς τὰ ὅμοια πράττοντας ἐμοί, δοκοῦντα δὲ Λυσάνδρῳ καὶ Λακεδαιμονίοις λέγω.
μετ' ἐκεῖνον δὲ Λύσανδρος ἀναστὰς ἄλλα τε πολλὰ εἶπε καί·
παρασπόνδους ὑμᾶς ἔχω,
(εἶπε) καὶ·
οὐ περὶ πολιτείας ὑμῖν ἔσται ἀλλὰ περὶ σωτηρίας, εἰ μὴ ποιήσεθ' ἃ Θηραμένης κελεύει.

2. Κίμωνος εἰπόντος·
φοβοῦμαι μὴ δικαιολογούμενος περιγένηται ἡμῶν ὁ Φίλιππος,
Δημοσθένης ἐπηγγέλλετο·
πηγὰς δὴ λόγων ἔχω ἀφθόνους,
καὶ ἔφη·
περὶ τῶν δικαίων τῶν ὑπὲρ Ἀμφιπόλεως καὶ τῆς ἀρχῆς τοῦ πολέμου τοιαῦτα ἐρῶ ὥστε ἀπορράψω τὸ Φιλίππου στόμα ὁλοσχοίνῳ ἀβρόχῳ, καὶ πείσω Ἀθηναίους μὲν καταδέξασθαι Λεωσθένην, Φίλιππον δ' Ἀθηναίοις Ἀμφίπολιν ἀποδοῦναι.

3. Ἐν δὲ ταύτῃ τῇ ἐκκλησίᾳ Κριτόβουλος ὁ Λαμψακηνὸς εἶπε παρελθών·
ἔπεμψε μὲν ἐμὲ Κερσοβλέπτης, ἀξιοῖ δὲ ἀποδοῦναι τοὺς ὅρκους τοῖς Φιλίππου πρέσβεσι, καὶ συναναγραφῆναι Κερσοβλέπτην ἐν τοῖς ὑμετέροις συμμάχοις.
ἀναστὰς ἐκ τῶν προέδρων Δημοσθένης ἔφη·
τὸ ψήφισμα οὐκ ἐπιψηφιῶ, οὐδὲ λύσω τὴν πρὸς Φίλιππον εἰρήνην, οὐδὲ γιγνώσκω τῶν συμμάχων τοὺς ὥσπερ συνεφαπτομένους τοῖς σπένδουσι τῶν ἱερῶν· ἀπεδόθη γὰρ περὶ τούτων ἑτέραν ἐκκλησίαν.

4. Ἀνίσταται τελευταῖος Δημοσθένης, καὶ τερατευσάμενος, ὥσπερ εἴωθε, τῷ σχήματι καὶ τρίψας τὴν κεφαλήν, ὁρῶν ἐπισημαινόμενον τὸν δῆμον καὶ δεδεγμένον τοὺς παρ' ἐμοῦ (Αἰσχίνης) λόγους, ἔφη·
ἀμφοτέρων θαυμάζω, καὶ τῶν ἀκουόντων καὶ τῶν πρεσβευσάντων, ὅταν παρέντες τὸν χρόνον, οἱ μὲν τὸν τοῦ βουλεύσασθαι, οἱ δὲ τὸν τοῦ συμβουλεύειν, ἀποδιατρίβωσι τὴν ὑπερόριον λαλιὰν ἀγαπῶντες ἐν τοῖς οἰκείοις πράγμασιν· οὐδὲν γὰρ ἐστὶ ῥᾷον ἢ πρεσβείαν ἀπαγγεῖλαι.

5. Ἐτόλμησε δὲ Δημοσθένης εἰπεῖν·
σὺ (Αἰσχίνης) τοῖς σεαυτοῦ λόγοις περιπίπτεις.
Φησὶ γάρ·
αὐτὸς εἶπες ὦ Αἰσχίνη, ὅτ' ἔκρινες Τίμαρχον·
πάντες κατ' αὐτοῦ (Τίμαρχος) τὴν τῆς πορνείας φήμην παρειλήφασι, ὁδ' Ἡσίοδος ποιητὴς ἀγαθὸς ὢν λέγει·
φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥντινα λαοὶ
πολλοὶ φημίξωσι· θεός νυ τίς ἐστι καὶ αὐτή,
ἡ δ' αὐτὴ ταύτη ἥκει νῦν θεὸς σοῦ κατηγοροῦσα· πάντες γὰρ λέγουσι·
χρήματα ἔχει Αἰσχίνης παρὰ Φιλίππου.

II. Tegye az áruló Orontas és Kyros Xenophón által leírt beszélgetését egyenes beszédbe! A szereplők természetesen tegeződnek. A gondolatjelek között olvasható beszúrás a szövegösszefüggés megértését segíti, az átalakítás során eltűnik.

Ὁ Κῦρος ἠρώτα Ὀρόντα, εἰ εἴη ὅ τι ἐκεῖνον ἠδίκησε. ἀπεκρίνατο ὅτι οὔ. πάλιν δὲ ὁ Κῦρος ἠρώτα, οὐκοῦν ὕστερον, ὡς αὐτὸς ἐκεῖνος ὁμολογεῖ, οὐδὲν ὑπ' αὐτοῦ ἀδικούμενος ἀποστὰς εἰς Μυσοὺς κακῶς ἐποίει τὴν χώραν αὐτοῦ ὅ τι ἐδύνατο. ἔφη Ὀρόντας. Οὐκοῦν, ἔφη ὁ Κῦρος, ὁπότ' αὖ ἔγνω τὴν ἑαυτοῦ δύναμιν, ἐλθὼν ἐπὶ τὸν τῆς Ἀρτέμιδος βωμὸν μεταμέλειν τε αὐτῷ ἔφη καὶ πείσας αὐτὸν πιστὰ πάλιν ἔδωκε αὐτῷ καὶ ἔλαβε παρ' αὐτοῦ. καὶ ταῦθ' ὡμολόγει Ὀρόντας. Τί οὖν, ἔφη ὁ Κῦρος, ἀδικηθεὶς ὑπ' αὐτοῦ τότε τὸ τρίτον ἐπιβουλεύων αὐτῷ φανερὸς γέγονε. εἰπόντος δὲ τοῦ Ὀρόντα ὅτι οὐδὲν ἀδικηθείς, ἠρώτησεν ὁ Κῦρος αὐτόν εἰ οὖν ὁμολογοῖ περὶ αὐτὸν ἄδικος γεγενῆσθαι. Ἦ γὰρ ἀνάγκην εἶναι ἔφη Ὀρόντας. ἐκ τούτου πάλιν ἠρώτησεν ὁ Κῦρος, ἔτι οὖν ἂν γένοιτο τῷ ἀδελφῷ αὐτοῦ πολέμιος, αὐτῷ δὲ φίλος καὶ πιστός. ὁ δὲ ἀπεκρίνατο ὅτι οὐδ' εἰ γενοίτο αὐτῷ γ' ἄν ποτε ἔτι δόξαι. πρὸς ταῦτα Κῦρος εἶπε τοῖς παροῦσιν, ὅτι ὁ μὲν ἀνὴρ τοιαῦτα μὲν πεποίηκε, τοιαῦτα δὲ λέγει· αὐτῶν δὲ πρῶτον – ἐκέλευε – Κλέαρχον ἀποφήνασθαι γνώμην ὅ τι ἐκείνῳ δοκεῖ.

III. A makedón Alexandros, Amyntas fia, a nagykirály fővezérének, Mardoniosnak követeként érkezett Athénba. Feladata az lett volna, hogy rávegye az athéniakat, kössenek szövetséget a perzsákkal. Hérodotos ión nyelvjárásban írt beszámolója a következő egymásba fonódó egyenes beszédeket, idézeteket tartalmazza:

1. Alexandros beszél az athéniakhoz
2. Mardonios beszél Alexandroshoz
3. Xerxés (levele) beszél Mardonioshoz
4. Mardonios beszél Alexandroshoz
5. Mardonios (Alexandros közvetítését kikapcsolva) beszél az athéniakhoz
6. Alexandros beszél az athéniakhoz

6a. Hérodotos közbeékelt megjegyzése

6. Alexandros beszél az athéniakhoz.

Tegye az ión szöveg vonatkozó részeit attikai függő beszédbe az összes lehetséges változat megjelölésével! Gondolatjelek között vannak a szövegösszefüggés könnyebb megértése végett az eredeti szövegbe szúrt kiegészítések.

1. Ὡς δὲ ἀπίκετο Ἀλέξανδρος ὁ Ἀμύντεω ἐς τὰς Ἀθήνας ἀποπεμφθεὶς ὑπὸ Μαρδονίου, ἔλεγε τάδε·

Ἄνδρες Ἀθηναῖοι, Μαρδόνιος τάδε λέγει·

2. Ἐμοὶ ἀγγελίη ἥκει παρὰ βασιλέος λέγουσα ὧδε·

3. Ἀθηναίοισι τὰς ἁμαρτάδας τὰς ἐς ἐμὲ ἐξ ἐκείνων γενομένας πάσας μετίημι. Νῦν τε ὧδε, Μαρδόνιε, – προλέγω –, ποίεε· τοῦτο μὲν τὴν γῆν σφι ἀπόδος, τοῦτο δὲ ἄλλην πρὸς ταύτῃ ἐλέσθων αὐτοί, ἥντινα ἂν ἐθέλωσι, ἐόντες αὐτόνομοι· ἱρά τε πάντα σφι, ἢν δὴ βούλωνταί γε ἐμοὶ ὁμολογέειν, ἀνόρθωσον, ὅσα ἐγὼ ἐνέπρησα.

4. – Τούτοισι δὲ πρὸς ἔπεσι προσέθηκε Μαρδόνιος· – Τούτων δὲ ἀπιγμένων ἀναγκαίως ἔχει μοι ποιέειν ταῦτα,

5. ἢν μὴ τὸ ὑμέτερον ἀντίον γένηται. Λέγω δὲ ὑμῖν τάδε. Νῦν τί μαίνεσθε πόλεμον βασιλέϊ ἀειρόμενοι· Οὔτε γὰρ ἂν ὑπερβάλοισθε οὔτε οἷοί τέ ἐστε ἀντέχειν τὸν πάντα χρόνον. Εἴδετε μὲν γὰρ τῆς Ξέρξεω στρατηλασίης τὸ πλῆθος καὶ τὰ ἔργα, πυνθάνεσθε δὲ καὶ τὴν νῦν παρ' ἐμοὶ ἐοῦσαν δύναμιν, ὥστε καὶ ἢν ἡμέας ὑπερβάλησθε καὶ νικήσητε, τοῦ περ ὑμῖν οὐδεμία ἐλπὶς εἴ περ εὖ φρονέετε, ἄλλη παρέσται πολλαπλησίη. Μὴ ὧν βούλεσθε παρισούμενοι βασιλέϊ στέρεσθαι μὲν τῆς χώρης, θέειν δὲ αἰεὶ περὶ ὑμέων αὐτῶν, ἀλλὰ καταλύσασθε· παρέχει δὲ ὑμῖν κάλλιστα καταλύσασθαι, βασιλέος ταύτῃ ὁρμημένου.

– καὶ ἐκέλευε –

Ἔστε ἐλεύθεροι, ἡμῖν ὁμαιχμίην συνθέμενοι ἄνευ τε δόλου καὶ ἀπάτης.

6. – μετὰ δὲ ταῦτα ᾽Αλέξανδρος προσέθηκε –

Μαρδόνιος μὲν ταῦτα, ὦ ᾽Αθηναῖοι, ἐνετείλατό μοι εἰπεῖν πρὸς ὑμέας. ᾽Εγὼ δὲ περὶ μὲν εὐνοίης τῆς πρὸς ὑμέας ἐξ ἐμέο ἐούσης οὐδὲν λέξω οὐ γὰρ ἂν νῦν πρῶτον ἐκμάθοιτε, προσχρηίζω δὲ ὑμέων πείθεσθαι Μαρδονίῳ. ᾽Ενορέω γὰρ ὑμῖν οὐκ οἵοισί τε ἐσομένοισι τὸν πάντα χρόνον πολεμέειν Ξέρξῃ εἰ γὰρ ἐνώρων τοῦτο ἐν ὑμῖν, οὐκ ἄν κοτε ἐς ὑμέας ἦλθον ἔχων λόγους τούσδε· καὶ γὰρ δύναμις ὑπὲρ ἄνθρωπον ἡ βασιλέος ἐστὶ καὶ χεὶρ ὑπερμήκης. ῞Ην ὦν μὴ αὐτίκα ὁμολογήσητε,

6α. μεγάλα προτεινόντων ἐπ᾽ οἵσι ὁμολογέειν ἐθέλουσι,

6. δειμαίνω ὑπὲρ ὑμέων ἐν τρίβῳ τε μάλιστα οἰκημένων τῶν συμμάχων πάντων αἰεί τε φθειρομένων μούνων, ἐξαίρετόν τι μεταίχμιον τὴν γῆν ἐκτημένων.

– καὶ ἐκέλευε – ᾽Αλλὰ πείθεσθε· πολλοῦ γὰρ ὑμῖν ἄξια ταῦτα, εἰ βασιλεύς γε ὁ μέγας μούνοισι ὑμῖν ῾Ελλήνων τὰς ἁμαρτάδας ἀπιεὶς ἐθέλει φίλος γενέσθαι.

᾽Αλέξανδρος μὲν ταῦτα ἔλεξε.

Kiegészítendő mondatok

1. Οἱ μὲν σοφοὶ εὖ πράττουσι, ... κακοὶ οὔ.
A : οἱ B : οἳ C : οἱ δὲ D : οἳ γὰρ

2. Ἡ πενία ... τέχνας ἐγείρει.
A : ἡ B : τῆς C : τὰς D : ἃς

3. Ῥώμη ... γνώμης νίκην οὐ φέρει.
A : μετὰ B : ἄνευ C : σὺν D : ἵνα

4. Οἱ ἐνθάδε οὐ πείθονται ...
A : ἐμέ B : σοῦ C : ὑμεῖς D : ἡμῖν

5. Νεκρὸς ... δάκνει.
A : μὴ B : οὐ C : νεκρὸν D : πολλάκις

6. Οἱ Μιλήσιοι διαφέρουσι ...
A : οἱ σοφοί B : πως C : τὴν σοφίαν D : φιλοσοφῶ

7. ... ἔχομεν οὔτε ὅπλα οὔτε ἵππους.
A : Οὐ γάρ B : Οὐκ C : Μὴ D : Μήτε

8. Τὰς Μοίρας οὐκ ... ἐκφεύγειν.
A : ἔστιν B : ἐστὶν C : εἰσὶν D : εἶσιν

9. Οἱ ὑπὲρ τῆς πατρίδος τεθνηκότες ἄξιοί εἰσι ...
A : τῆς τιμῆς B : τῇ πόλει C : φιλόπολις D : φιλοπολίτας

10. Ὁ στρατηγός, ... πειθόμεθα, τολμηρὸς ἐστίν.
A : ὃ B : ὑμεῖς C : τῷ D : ᾧ

11. ... παῖδες οἱ γέροντες.
A : Ἅπαξ B : Τρίτοι C : Δὶς D : Ἓξ

12. Πλούσιοι ἐγένοντο ... ψεύδεσθαι.
A : τὸ B : οὐ C : τῷ D : οἱ

13. Τὰς μελίττας ... τὴν φιλεργίαν θαυμάζομεν.
A : ἐπὶ B : ἕνεκα C : διὰ D : χάριν

14. ... βέλη ἐβλήθη ὑπὸ τῶν βαρβάρων.
A : Πολλὰ B : Πόλεις C : Μεγάλη D : Ἡ δὲ

15. Τοῦτον τὸν πολίτην ... ἠροῦντο.
A : στρατηγῷ B : στρατηγὸν C : ἄρχοντι D : ταχέως

16. Τοῖς παισὶ σωφροσύνη ...
A : προσήκειν B : πρέπει C : προσήκετε D : πρέπομεν

17. Οἱ Ἀθηναῖοι ... ἠδίκησαν.
A : ὑμῖν B : τὸν Σωκράτην C : πολλῶν D : σε

18. Δῶρα θεοὺς ...
A : πείθει B : πείθουσιν C : ἐπείθοντο D : πείθεσθε

19. ... πιστεύετε τῇ τύχῃ.
A : Μηδεὶς B : Μὴ C : Οὐδένα D : Οὐδενὸς

20. ... οἴῃ ὠφελήσειν τοὺς δικαίους ἐν τῷ πολέμῳ;
A : Οἱ θεοὶ B : Τοὺς θεοὺς C : Τῶν θεῶν D : Τοῖς θεοῖς

21. Αἱ ἡδοναὶ πολλάκις ... πηγαὶ λυπῶν.
A : εἰσὶ B : εἶσι C : ἦσαν D : ἐστὶ

22. Τοῦτον τὸν κήρυκα νίκην ... ἐλπίζομεν.
A : ἀγγέλλει B : ἀγγέλλειν C : ἀγγελεῖν D : ἀγγέλλουσαν

23. ... ὑγιείας ἄβιος βίος.
A : Μέχρι B : Χωρὶς C : Ἔξω D : Μεταξὺ

24. Εἰκότως τὴν εἰρήνην ... προκρίνομεν.
A : τὰς μάχας B : ταῖς μάχαις C : τοῦ πολέμου D : τῷ πολέμῳ

25. Ἀπέθανον ἐν τῇ μάχῃ ὀγδοήκοντα ...
A : ἱππέα B : στρατιώτης C : ὁπλῖται D : πολέμια

26. Τὸ ... λέγειν χαλεπόν ἐστιν.
A : καλὸς B : εὖ C : κάλλος D : καλεῖν

27. Τὴν φιλίαν μὴ λῦε, ... φύλαττε.
A : καίπερ B : ὅτε C : ἀλλὰ D : ὅπλα

28. ... πειρατὴς ἀπάγει τὸν ἵππον.
A : Ἡ B : Τῆς C : Ὁ D : Τίς

29. Ταῦτα ... ἔφυγον.
A : ἄκων B : ἀκούοντος C : ὁρώσης D : ἀκούσαντες

30. Τὰ δῶρά ... ἐν τῇ οἰκίᾳ.
A : ἔστι B : ἐστιν C : ἔστιν D : εἶσιν

31. Ἡ μὲν δειλία ... φέρει, ἡ δὲ ἀνδρεία νίκην.
A : ἦρχθην B : ἧττον C : ἥτταν D : ἦσαν

32. Οἱ ... ἐπιθέμενοι ἐάλωσαν.
A : ἡμᾶς B : σοῦ C : ὑμῖν D : ἑαυτὸν

33. Τὰ ἀνδράποδα οὐκ ἀναμένει ... τῇ ἀγορᾷ.
A : ἀπὸ B : ἐν C : ἀνὰ D : διὰ

34. Οἱ πελτασταὶ ἀπέθανον ...
A : τοῖς βέλεσιν B : βαλῶν C : βελτίων D : τοῦ βέλους

35. Μετὰ δὲ τοῦτο φίλος ἦν ...
A : αὐτή B : αὐτῷ C : τοῦτον D : ἐκεῖνο

36. Τῶν ... Ἀρτεμισία γνώμῃ καὶ σοφίᾳ διαφέρει.
A : βασιλέων B : βασιλειῶν C : βασίλεια D : βασίλισσα

37. Χεὶρ .... νίπτει, δάκτυλοι δὲ δακτύλους.
A : χρεία B : χερσὶν C : χεῖρα D : χεῖρες

38. Ἐλέφαντα ... μυίας ποιεῖς.
A : ἐκ B : πλήν C : ἔξ D : τὰς

39. Ὁ λύκος ταῖς ... ἐπιβουλεύει.
A : αἰγὶς B : αἰγὶ C : ἀξίαις D : αἰξὶν

40. ... ἄδικοι ἐγένοντο, ὥστε πολίτας ἀπέκτειναν ἀκρίτους.
A : Ὅπως B : Οὕτως C : Οἳ δὲ D : Ὥσπερ

41. ῞Ελληνες ... παῖδες, γέρων δὲ ῞Ελλην οὐκ ἔστιν.
A : οὔποτε B : εἴθε C : ἀεὶ D : οὗτοι

42. ᾽Εν πολέμῳ ... ἔνεστι δὶς ἁμαρτεῖν.
A : οὐκ B : οὐχ C : οὐδὲν D : οὐδενὶ

43. Οἱ οἶκοι μείναντες ... τοὺς μισθοφόρους τοὺς ἀπὸ τῶν νήσων ἀφικομένους.
A : ἴησι B : ἴσασι C : οἶδεν D : εἶδον

44. ... χελιδὼν ἔαρ οὐ ποιεῖ.
A : Εἷς B : Μία C : Εἰς D : Τῶν

45. Τοῦ μὲν διδασκάλου ἐστὶ διδάσκειν, τῶν δὲ παίδων ...
A : φοιτᾶν B : μαντεύεσθαι C : παιδεύειν D : μανθάνειν

46. ... οἱ ὁπλῖται ἀφίκοντο, ἔμενον ἐν τῷ στρατοπέδῳ.
A : Ποῖ B : ᾽Επεὶ C : ῞Οπως D : ᾽Εὰν

47. ... ἀνθρώπων οὐκ ἀποθνῄσκει.
A : Μηδεὶς B : Τῶν C : ῾Απάντων D : Οὐδεὶς

48. ῾Η μὲν πόλις ... , οἱ δὲ πολῖται ἔφευγον.
A : διέφθειρεν B : διέφθειραν C : διεφθείρετο D : διέφθορα

49. ... συχναὶ γλαῦκες ἦσαν.
A : ᾽Αθήναζε B : Εἰς ᾽Αθήνας C : ᾽Εν ᾽Αθήναις D : ᾽Αθήνηθεν

50. Οἱ Μῆδοι ἐπέθεντο ἡμῖν ...
A : πορεύειν B : πορεύσασιν C : πορευομένοις D : πορεύεσθαι

51. ῾Ο Νικίας ... ἐδίωκεν αὐτοὺς.
A : αὔριον B : ἐχθὲς C : ἀργύριον D : πότε

52. ᾽Εξ ὀνύχων ... λέοντα ἔνεστι μαθεῖν.
A : τὰ B : τὸν C : τῶν D : ἕν

53. ῎Αλλοι ... τρόπους ἐπαινοῦσιν.
A : οὓς B : πούς C : ἄλλους D : οὗς

54. Μὴ τρέφε ... ἐλπίδα.
A : ἐκεῖνον B : κενὴν C : ἐκεῖ D : ὦ

55. Οἱ σύμμαχοι οὐ ... τῷ στρατηγῷ ἀπέθανον.
A : πεισθησόμενοι B : πέπεικεν C : πέποιθα D : πεισθέντες

56. Οὔτε συμπόσιον χωρὶς ὁμιλίας ... πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει.
A : οὐδὲ B : οὗτοι C : οὔτε D : οὐχὶ

57. ᾽Εν τῷ ἐν ... ἱερῷ καλὰ ἀναθήματα ἦν.
A : Δελφὶς B : Δελφοῖς C : Πυθοῖ D : Πυθωνόθεν

58. Οὐδὲν ἐφίλει μᾶλλον ... κλέος.
A : τοῦ B : ἢ C : ἢ τὸ D : —

59. Φυλάττεσθε ... κόλακας.
A : ὑμᾶς B : τῆς C : τοὺς D : τὰς

60. ... ὁπλῖται ἐκ Πλαταιῶν ἀφορμηθέντες ἐπορεύθησαν ἐπὶ τοὺς Πέρσας.
A : ῎Απαξ B : Τέτταρα C : Διακόσιαι D : Χίλιοι

61. Παῖς μὲν ... ἡδέως συνδιατρίβει, νεανίας δὲ νεανίᾳ.
A : παῖ B : παισὶ C : πᾶσι D : παιδὶ

62. Περὶ τοῦ ... ἔλεγεν.
A : νυκτὸς B : παιδεύειν C : πόλεως D : νεὼς

63. Τούτων οὕτως ... ἐσπείσαντο.
A : ἔχων B : ἔχοντες C : ἐχόντων D : ἐν ταῖς σπονδαῖς

64. Τὸν ποιητὴν ... εἰκάζομεν.
A : Ὅμηρον B : τῇ μελίττῃ C : τῶν τεττίγων D : ἀηδὼν

65. Τῇ δωδεκάτῃ ἡμέρᾳ τὸ στράτευμα ... τῇ πόλει ἐστρατοπεδεύσατο.
A : πρὸς B : ἀμφὶ C : πρὸ D : ἀντὶ

66. Πολλὰ ἔχει ... καλά.
A : κώνειον B : λοιμὸς C : σιωπὴ D : ταραχὴ

67. Τὴν σοφίαν ... προκρίνω.
A : δόξαν B : τὴν δόξαν C : τῆς δόξης D : δόξῃ

68. Δοκεῖς, ἔφη, ... Νικία, εὖ λέγειν.
A : ᾧ B : ὦ C : ὁ D : ὃ

69. Τοῦ ταξιάρχου φυγόντος οἱ ὁπλῖται ἑαυτοὺς ... παρέδοσαν.
A : βασιλέας B : τοῦ βασιλέως C : τῷ βασιλεῖ D : βασιλεῖς

70. Ὁ ὕπνος ... ὅμοιός ἐστιν.
A : καὶ ὁ θάνατος B : θάνατον C : τοῦ θανάτου D : τῷ θανάτῳ

71. Ὁ στρατὸς νυκτὸς ἀφορμηθεὶς πρὸς τὴν πόλιν ἀφίκετο πρὸ τῆς ...
A : ἕως B : ἕω C : ἕῳ D : ἑῶ

72. ... δὲ Μούσας εἶναι νομίζουσιν.
A : Τρία B : Ἐννέα C : Ἐννεὰς D : Τρὶς

73. Ἡ μάχη ἐπαύθη ...
A : θέρος B : χειμῶνι C : πρὸς τὸ ἔαρ D : εὐδία

74. Μίαν οὖν ἡμέραν οἱ Θηβαῖοι ... ἐστρατοπέδευσαν.
A : αὐτὸς B : αὐτὸν C : αὐτοῦ D : αὐτῷ

75. Οἱ ... τὸν βασιλέα ἀπέθανον ὑπὸ τῶν συνωμοτῶν.
A : ἀνὰ B : διὰ C : μετὰ D : ἀμφὶ

76. Καὶ τοῦτο δῆλόν ἐστιν, ... οὐδέν με ὠφελήσει ὅδε ὁ βωμός.
A : ὃ B : τοῦτο C : ὅτι D : ὥστε

77. Τῇ ὀγδόῃ καὶ δεκάτῃ ἡμέρᾳ ... τὰς Σάρδεις ἀφίκοντο.
A : πρὸς B : διὰ C : ὡς D : πρὸ

78. Ὁ νόμος ... λέγεται.
A : τύραννος B : τύραννον C : τυράννου D : τυράννῳ

79. Οἱ Μιλήσιοι ὑπὸ τῶν Περσῶν ... ἀπέθανον.
A : ἑλόντες B : ἁλόντες C : ἁλωσόμενοι D : αἱρήσοντες

80. ... τὸν ποιητὴν ἐπαινῶ, ὑμεῖς δὲ τὸν ῥήτορα.
A : Ἐγὼ B : Σὺ C : Οὗτος μὲν D : Ἐκείνη μὲν

81. ᾿Εννέα ἔτη οἱ ᾿Αχαιοὶ ... τῆς Τροίας ἐστρατοπέδευον.
A : ἐν B : πρὸ C : ἀνὰ D : μετὰ

82. Τὴν ἀλήθειαν ... τῶν ἀρετῶν εἶναι λέγουσιν.
A : πηγὴ B : κρήνῃ C : ῥίζαν D : μάρτυς

83. ῾Η βασίλεια ἄρξασα τετταράκοντα ... ἀπέθανεν.
A : ἔτι B : ἔτη C : ἤθη D : ἔθων

84. Πλοῦς ... οὐκ ἔστιν ὅμοιος.
A : πλῷ B : ναυσίν C : πλοίῳ D : ὁλκάσι

85. ᾿Επήνεσεν τοὺς ... φυγόντας ἐν τῇ μάχῃ.
A : — B : οὐ C : μὴ D : αὐτοὺς

86. Τὸ κελεύειν ... ἐστι ῥᾷον τοῦ πείθεσθαι.
A : πολύς B : πολλῶν C : πολλῷ D : πολλοῦ

87. Νοῦς ... καὶ νοῦς ἀκούει.
A : ὁρᾷ B : ὅρα C : ὁρᾶν D : ὁρῶν

88. ῾Ο νεανίας φίλιός τε καὶ χαρίεις ἦν, ὥσθ᾽ ὑπὸ πάντων ....
A : φιλεῖν B : φιλεῖσθαι C : φιλοῦσιν D : φιλοῦ

89. ... ὁ πρεσβευτὴς ἀφίκετο, ἀπέθανε.
A : ῾Οπόταν B : ᾿Επεὶ C : Πρὶν ἂν D : ῞Οταν

90. ... , γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
A : Γυναῖκα B : Γύναι C : Γυναῖκας D : Γυναικί

91. ῾Ο στρατὸς ... ὑπὸ τοῦ Δημοσθένους.
A : σέσωκεν B : σώσοντος C : ἐσώθη D : σωθήσῃ

92. ῾Ο Πεισίστρατος τύραννον τῶν ᾿Αθηναίων τρὶς ... κατέστησε.
A : — B : τυραννίδα C : ἑαυτὸν D : ἢ ἐνάκις

93. Οἱ πολῖται ... ἔβαλλον τὸν ῥήτορα.
A : μῆλα B : καρπῶν C : λίθοις D : δόρατι

94. Οὐκ ἤλθομεν ὡς τῷ βασιλεῖ ...
A : θαφοῦσαι B : καταλιπεῖν C : πολεμήσοντες D : ἀγγελθέντι

95. Οὐ ... , ἀλλ᾽ ἐμὲ διώκει.
A : σύ B : σά C : σέ D : σή

96. Αἱ νῆες ἔπλευσαν ... ἐπὶ τοῦ ῾Ελλησπόντου.
A : ᾿Αθήνηθεν B : ᾿Αθήνας C : ᾿Αθήναζε D : ᾿Αθήναις

97. ῾Ο τοξότης ... μάχεται.
A : δόρατι B : τῷ τόξῳ C : τῷ δορὶ D : χειρὶ

98. Οὔτε παρὰ νεκροῦ ὁμιλίαν, ... παρὰ φιλαργύρου χάριν δεῖ ζητεῖν.
A : αὖτε B : ἀλλὰ C : οὔτε D : εἴτε

99. Οἱ ἄγγελοι οἱ ἐκ τῶν ᾿Αθηνῶν ἐλθόντες ... ταῦτα τοῖς Λακεδαιμονίοις.
A : ἤγγειλαν B : καὶ λέγοντες C : γεγραμμένα D : ἐρεῖν

100. ῾Ο λύκος τὴν ... , οὐ τὴν γνώμην ἀλλάττει.
A : θριξίν B : τρίχα C : τριχί D : τριχός

101. Οὔτε ξένοις νόμιμόν ἐστιν ἐν τῇ Σπαρτῇ ... οὔτε τοῖς Σπαρτιάταις ἐν τῇ ξένῃ.
A : ἰέναι B : διατρίβειν C : ἔξεστιν D : μάχεσθαι

102. ... δύναται ὁ βασιλεύς· ὥστε ζητεῖτε πεῖσαι αὐτὸν ὑμᾶς ὠφελεῖν.
A : Μέγα B : Πολλὰς C : Δύναμιν D : Τοσοῦτος

103. Στράτευμα ἐπέμφθη ἀπὸ Πλαταιῶν ... τοὺς Ἀθηναίους Μαραθῶνι ὄντας.
A : πρὸς B : ἐπὶ C : ἀνὰ D : διὰ

104. ... ἐστιν ἡ ἐν Θερμοπύλαις μάχη.
A : Δόξα B : Ἔνδοξός C : Εὐδοκία D : Λαμπροτάτη

105. ... λέοντες, ἐν μάχῃ δ' ἀλώπεκες.
A : Οἴκοι B : Οἴκους C : Οἴκων D : Οἶκοι

106. Ἡμεῖς ... δύναμιν εἴχομεν τῶν Λακεδαιμονίων.
A : κρεῖττον B : πολλήν C : μείζω D : κράτιστον

107. Οἱ μὲν ἄνθρωποι θνητοί εἰσιν, ... θεοὶ ἀθάνατοι.
A : ἀλλὰ οἱ B : καὶ οἱ C : οἱ δὲ D : εἰσὶν

108. Ἄφρων ἐστὶν οὗτος, ὃς ἑαυτῷ δοκεῖ πάντα ...
A : δύνασθαι B : δύνασαι C : δεδύνηται D : δυνάμεων

109. Τὰ χρήματα ... ἐπέμφθη ἀπὸ τῶν νήσων.
A : Ὀλυμπίασιν B : Θήβηθεν C : Ἀθήναζε D : Μεγαροῖ

110. Τοῦ ... ἐστὶ μανθάνειν.
A : μαθητὴς B : νεανίου C : γυναικὸς D : παρθένου

111. Νυκτὸς καθεύδοντες ...
A : ἔπλευσαν B : ἐμάχοντο C : ἔφυγον D : ἀπέθανον

112. Καὶ ἐν τῇ θαλάττῃ παντοῖα ζῷά ...
A : ζῶσιν B : βίοι C : ἐστιν D : βιοῦσιν

113. Τὰ χρήματα ἀνθρώποις εὑρίσκει ...
A : κέρδους B : πάθους C : φίλους D : μίσους

114. Οὐ ... εἰμι ἀνόητος οὐδὲ ἐθέλω τὸν πόλεμον ἀντὶ τῆς εἰρήνης.
A : μὲν B : οὖν C : γάρ D : μόνον

115. Οἱ νησιῶται ... χρήματα ἢ ναῦς ἔπεμφαν.
A : πλείω B : πολλὴ C : πλείους D : πλήρη

116. Ὁ Λυσίας τὸν δοῦλον ἐκέλευσε ... τὴν θύραν.
A : κροῦσαι B : φαγεῖν C : ἀγγεῖλαι D : πέπραξαι

117. Πολλὰ δῶρα ... ναυσὶ παρὰ τῶν ἐν ταῖς νήσοις.
A : ἔρχονται B : διαφέρει C : ἐφέρετο D : ἐκφέροντο

118. Ὁ ἀνεξέταστος βίος οὐ βιωτὸς ...
A : ἄνθρωπος B : ἄνθρωπον C : ἀνθρώπου D : ἀνθρώπῳ

119. Πείθεσθε, ὦ ... , τῷ νόμῳ.
A : παῖ B : γύναι C : πολῖται D : βασιλεῦ

120. Οἱ ἄφρονες τὰ παρόντα ... τὰ ἀπόντα διώκουσιν.
A : ἀφέντες B : φαιδρότητα C : εἷς D : λαμβάνουσι, ὅπως

121. Πρέσβεις ... ὑπὸ τῶν Θηβαίων ὡς τὸν βασιλέα.
A : πέπεμπται B : πεμψόμενος C : πεμφαμένους D : ἐπέμφθησαν

122. Τὸν χειμῶνα ἡ ναῦς ἔμενε ἐν τῷ λιμένι, καὶ ... ἐξέπλευσεν.
A : μηδεὶς B : οὐδ' C : ἅμ' ἦρι D : ἐπὶ τὴν ἕω

123. ... τῆς νίκης τὸ ἐγκώμιον ᾄδεις.
A : Ἀπὸ B : Πρὸ C : Πρὸς D : Κατὰ

124. Οὐδεὶς τῶν ἀνθρώπων ... πρὸ τοῦ θανάτου.
A : ὄλβος B : ὄλβιος C : μακαρίζει D : μάκαρος

125. Τὰ δένδρα ... τοῖς φύλλοις καὶ τοῖς καρποῖς.
A : συμφέρουσι B : διαφέρουσι C : διαφέρει D : συμφορὰ

126. Ἑκατὸν στάδια ... πᾶσαν τὴν νύκτα πρὸς τῷ ποταμῷ ἔμενον.
A : πορεύομαι B : πορευθέντες C : ἐπόρευσαν D : πορευσομένην

127. Δεῖ γαμεῖν ἐκ ... ὁμοίων.
A : τοὺς B : τῶν C : τὰς D : ταῖς

128. ... σωφροσύνη πρέπει.
A : Τὸν νέον B : Τοῦ νεανίσκου C : Τῷ νεανίᾳ D : Ὦ παῖ

129. Φαῦλος ... καλοῦ πράγματος ὄχλος.
A : κριτὴς B : δικαστὴν C : κριτοῦ D : δικαίῳ

130. Καὶ ὁ λῃστὴς 'ὦ γύναι' ... 'ὄνομά σοι τί ἐστιν;'.
A : φασὶ B : ἔφη C : φάτω D : φαῖεν

131. Τοῖς μὲν οὖν τῶν Αἰγυπτίων ἱεροί εἰσιν οἱ κροκόδιλοι, ... δ' οὔ.
A : τοῖς B : οἷς C : οἱ D : καίτοι

132. Οἱ φύλακες τοὺς ... ἐφύλαξαν.
A : ὁδοὺς B : ἵππεῖς C : Πέρσας D : ποὺς

133. Οὐ μετανοεῖν, ... προνοεῖν χρὴ τὸν σοφόν.
A : καὶ B : ἀλλὰ C : οὐδὲ D : ἢ

134. Ἀπέχει ... ἡ Ἦλις πολλοὺς σταδίους.
A : τὰς Ἀθήνας B : τοῦ Ἄργους C : Πυθοῖ D : Θήβας

135. ... ναύτης τῇ θαλάττῃ χαίρει.
A : Τῇ B : Τῆς C : Ὁ D : Ὦ

136. Τῇ δὲ ὑστεραίᾳ ὁ στρατηγὸς ἐκκλησίαν ...
A : ἔδρασαν B : πράξοντος C : ἐποίησε D : δρᾶν

137. Ὁ μὲν στρατηγὸς ἦν ἐν τῇ σκηνῇ· ὁ δὲ στρατιώτης ... ἔφερεν.
A : νοῦς B : ὄρος C : οἶνον D : χερσίν

138. Ἔπεμψαν ἱππέας ... τὴν ἥτταν.
A : ἀγγέλλειν B : ἀγγελλούσας C : ἀγγελοῦντας D : ἀγγελουμένας

139. Χαίρετε, ὦ στρατιῶται· ... ἱερὰ καλά ἐστιν.
A : ἡ δὲ B : τὰ γὰρ C : καίτοι D : τά τε

140. Αἱ Μοῦσαι τοῖς ποιηταῖς ... εἰσιν.
A : εὖνοι B : εὔνοιαί C : νενόημαι D : εὖνοί

141. Δεινὴ ἦν τοῖς βαρβάροις ... φάλαγγος προσβολή.
A : τοῖς B : τὰ τοῦ C : ἡ τῆς D : ἢ τῆς

142. Οὕτως ἄφρονές ἐστε, ... ἐλπίζετε τὸν Φίλιππον φίλιον γενήσεσθαι.
A : ὥσπερ B : οὕτω C : ὥστε D : οἷος

143. Ὁ βασιλεὺς ἐβούλετο καταδουλοῦν τοὺς Ἕλληνας τοὺς τοῖς Μήδοις ...
A : μάχεσθαι B : μαχεσάμενους C : μαχεσόμενος D : ἐμάχοντο

144. Τὸν μὲν ἀδελφόν μου ἐπήνεσας, ...
A : καὶ μή με B : οὔτε μοί C : ἐμὲ δ' οὔ D : ὦ διδάσκαλοι

145. Ὁ διδάσκαλος ... ἐδίδασκεν.
A : με B : ἡμᾶς C : ἡμῖν D : ὑμῶν

146. Νικίας ἔφη τὴν θυγατέρα χιτῶνα ...
A : χρῄζει B : κτήσεσθαι C : χρῆσθαι D : πριαμένη

147. Οἱ τῶν Ἑλλήνων ὑποκριταὶ κοθόρνους ... ἐβάδιζον.
A : ὑποδήματα B : ὑποδήσοντες C : ὑποδησάμενοι D : ὑποδεδεμένους

148. Οἱ Ἀθηναῖοι ἐθαύμαζον Δημοσθένη ... τὴν τῶν λόγων δεινότητα.
A : ἐπὶ B : διὰ C : ἕνεκα D : —

149. Ποῦ ἐστιν ... λιμήν;
A : ὁ B : ἡ C : τὸ D : τὴν

150. Τοὺς νοσοῦντας δεῖ ταῖς τῶν ἰατρῶν συμβουλίαις πείθεσθαι, ἵνα ... ἀπαλλαγῶσιν.
A : τὰς νήσους B : τῶν νόσων C : τῷ ἰατρῷ D : μὴ τὸν βίον

151. Λέγει ... μῶρός εἰμι.
A : ἐμὲ B : μοι, ὁ C : ὡς D : τις, ὅτι μὴ

152. Οἱ Θρᾷκες τὸν ... ἐκ κερῶν ἔπινον.
A : ὕδωρ B : γάλα C : οἶνον D : γλεῦκος

153. Ὑπέσχοντο τοὺς δούλους ...
A : ἐλευθερώσειν B : ἐλευθέριοι εἶναι C : ἐλευθερίαν D : ἐλευθεροῦν

154. Πείθεσθαί σε χρὴ ... δοῦλον ὄντα.
A : ὅτι B : ὅτε C : ἅτε D : ὥστε

155. Οἱ σοφοὶ νομίζουσι τὴν ψυχὴν ... εἶναι.
A : ἀθάνατον B : βροτὸν C : θνητὴν D : θάνατον

156. Χειμῶνος ὄντος αἱ μὲν ἡμέραι βραχεῖαι, αἱ δὲ ... μακραί εἰσιν.
A : σκιαὶ B : σελῆναι C : νύκτες D : ὧραι

157. Ἡ φύσις τὰ δάκρυα ἡμῖν ἔδωκε ...ἐν ταῖς ἀτυχίαις.
A : παραμυθίαν B : τοῖς C : καὶ δώσεται D : κεκλαυμένοις

158. Τὰ τῶν ἀγρίων ὄνων κρέα ... ἐστι τοῖς τῶν ἐλάφων κρέασιν.
A : ὁμοίως B : ὅμοιά C : ὁμόνοιά D : ὅμοιόν

159. Οὐκ ἤθελον αὐτῷ δοῦναι ... ξίφος.
A : τὸ ἐμὸν B : ὁ σὸς C : οὐδένα D : ὀξὺς

160. Οἱ Πέρσαι προσεκύνουν τὸν Δαρεῖον ... βασιλέα.
A : τὰ B : οὕτω C : ὡς D : καίπερ

161. ... ὄντες μὴ ἐπιλανθάνεσθε τῶν ἀτυχῶν.
A : Εὐτυχεῖς B : Εὐτυχοῦς C : Δυστυχεῖς D : Δυστυχοῦντες

162. Οἱ Πέρσαι ἑλόντες τὰς Ἀθήνας ἐνόμιζον ... πάντα τὸν πόλεμον.
A : τελευτῆσαι B : τέλος C : τελευτὴν D : τελευτῶν

163. Φίλιππος Ἑλληνίδας πόλεις τὰς μὲν ... ἐποίησε, τὰς δὲ κατέσκαφεν.
A : ἐμφρούρους B : εὐδαίμονες C : μέγας D : θρασεῖς

164. ... Ἀρκαδίας ὄρη ὑψηλά ἐστιν.
A : Ἡ B : Τὰ τῆς C : Τὰς D : Ἡ τὰς

165. Φίλιππος ἔφη βασιλεὺς ...
A : εἶναι B : ᾖ C : σεαυτὸν ἔσεσθαι D : εἶμι

166. Αἱ Θερμοπύλαι ... ὑπ' Ἐφιάλτου πολλοῖς χρήμασι πεισθέντος.
A : προδότου B : προδιδῶται C : προυδόθησαν D : προδόμεναι

167. ... Σωκράτει συνδιατρίβοντες ἐγκρατεῖς καὶ σώφρονες ἐγίγνοντο.
A : Οἳ γὰρ B : Οἳ οὖν C : Οἱ D : Οἳ

168. Τέλος δὲ ἤσθοντο ... ἀληθῆ ὄντα.
A : τὸ κλέος B : τὰ ἀγγελθέντα C : ὅτι ὁ κῆρυξ D : πρεσβευτῆ

169. Ὁ στρατηγὸς ... τὴν βασίλισσαν καλὴν εἶναι.
A : ὀνόμαζε B : ἐνόμιζε C : ἡγήσαντο D : διαλέξει

170. Ἀρχύτας Πυθαγόρειος ὢν ... ἀπείχετο.
A : κύαμος B : κύαμον C : κυάμου D : κυάμῳ

171. ... μισθὸν ὑπέσχου αὐτοῖς;
A : Ποιοῦν B : Ποῖον C : Ποιῶν D : Ποίαν

172. Ὅταν ὁ δάκτυλος ... , πᾶν τὸ σῶμα αἰσθάνεται καὶ συναλγεῖ.
A : πληγαὶ B : πληγῇ C : πλήττει D : ἔπληξε

173. Ἀπέκτειναν τοὺς πολίτας ... γυναιξίν.
A : μετὰ B : καὶ C : τε καὶ D : αὐταῖς ταῖς

174. Ἅμα τῷ ἔαρι τὰ δένδρα φύλλα ...
A : φέρουσι B : φύει C : ἐστίν D : αὐξάνουσι

175. Ὁ στρατηγὸς αὐτὸς τῷ αὐτῷ ξίφει αὐτοὺς ...
A : ἐσφάγη B : ἐσφάχθη C : ἔσφαξεν D : ἔφαγεν

176. Ἀπεκρίναντο, ὅτι στρατὸν ...
A : πεμφούσῃ B : μὴ πεμπούσαις C : οὐ πέμφουσιν D : πέμφασιν

177. Οἱ σοφοῖς ἀνδράσι συνδιατρίβοντες ... μανθάνουσιν.
A : σοφία B : σοφὰ C : μηδὲν D : τοῖς

178. Ἐάν τις φανερὸς ... κλέπτων, τούτοις θάνατός ἐστιν ἡ ζημία.
A : γέγονε B : γένηται C : γεγένηται D : ἐγένετο

179. Ὁ ἰχθὺς μάλα ἐλαφρός ἐστιν· χαλεπὸν ... ἐστιν ἰχθὺν θηρεύειν.
A : γάρ B : οὖν C : δ' οὐκ D : ὅμως

180. Ἀναξαγόραν τὸν Κλαζομένιόν φασιν ... γελῶντα ὀφθῆναι οὐδὲ μειδιῶντα.
A : μὴ B : πολὺν C : οὔποτε D : τὸν

181. Νομίζω τούτους τοὺς ... ἀξίους τῆς αὐτῆς ζημίας.
A : προδοὺς B : προδιδοὺς C : προδότας D : προδοσίας

182. Χαλεπὸν τὸ ποιεῖν, ... κελεῦσαι ῥᾴδιον.
A : ἀλλὰ B : τὸ δὲ C : τοῦ D : καὶ

183. Εἶπον, ... Νικίας φεύγει.
A : ὅπως B : ὁ C : ὅτι D : ἵνα

184. Μὴ ... τῇ γαστρί.
A : δοῦλε B : δούλευε C : δουλεύσει D : δουλοῦμεν

185. Οὔτε πλούτου οὔτε κάλλους ὄφελος, ὅταν τις μὴ φρένας ...
A : ἔχει B : σχήσει C : ἔχῃ D : σχήσοι

186. Ἔλεγον, ὅτι ὁ βασιλεὺς ταῦτα οὐ ...
A : ποίει B : ποιῇ C : ποιήσει D : ποιήσασι

187. Οἱ Ἀθηναῖοι ... ἐνίκησαν ἐν τῷ αὐτῷ πολέμῳ.
A : μήποτε B : ποτε C : τρὶς D : πως

188. Ἐκ ... ἐσορᾶν γίγνεται ἀνθρώποις ἐρᾶν.
A : — B : τὸ C : τὴν D : τοῦ

189. Οἱ μὲν ἐν τῇ πόλει ἔμενον, ... ἐξῇσαν ἐπὶ τοὺς πολεμίους.
A : ὅπως B : καὶ C : ὥστε D : οἱ δὲ

190. Κῦρος, ὁ Περσῶν βασιλεύς, ... ταῖς ἀρεταῖς ἐθαυμάζετο.
A : εἰ B : ἐπὶ C : δὶα D : ἕνεκα

191. Ἡ τῶν ἐναντίων δειλία τὴν νίκην ἄπονον ... παρέσχετο.
A : ὑμῶν B : ἡμῖν C : ἑαυτῷ D : σφᾶς

192. Νικίας .... τοὺς ἀγγέλους, τί βούλοιντο· οἱ δ' ἔλεγον, ὅτι περὶ σπονδῶν ἥκοιεν.
A : ἀνηρώτησε B : ἐρωτᾷ C : ἀπεκρίνατο D : πεύσεται

193. Ἄκουε, ὦ ... , τῶν εὐχομένων.
A : Δία B : Διός C : Διί D : Ζεῦ

194. ... διαβαίνοντες εὐρὺν ποταμόν.
A : Εἵληφεν B : Ἑλήφθησαν C : Ἑλήφθην D : Ἀπολώλεκεν

195. Ὅμηρος Ἀγαμέμνονα ποιμένα ... προσαγορεύει.
A : Ἕλλην B : λαῶν C : κακὸν D : προβάτων

196. Οἱ κατάσκοποι ἀγγέλλουσιν, ὅτι οἱ πολέμιοι ὑπερβαίνουσι ...
A : τείχους B : τοῖς κινδύνοις C : τὰ ὄρη D : τῶν ὅρκων

197. Ἀπαγγέλλετε τῷ βασιλεῖ, ὅτι πρῶτον ... δεῖ.
A : πόλεμος B : ὕδατι C : μάχης D : μισθὸν

198. Ὡς ἡδύ ἐστι τὸ ἔαρ ... χειμῶνα.
A : καὶ B : ἄνευ C : μετὰ τὸν D : πλὴν

199. Οἱ Πέρσαι ἐκ τῶν Σάρδεων ... ἐπέθεντο τῇ Ἑλλάδι μεγάλῳ στρατῷ.
A : ἕλοντες B : ἅλοντες C : ἅραντες D : πορεύοντες

200. Ὑπὸ τῶν Μήδων ... ἔμενεν ἐν Σάρδεσι εἴκοσιν ἔτη.
A : ἑάλων B : ἥλων C : ἁλοὺς D : ἁλῶν

201. Θαλῆν οἱ τότε ἐθαύμασαν ... τῷ ἡλίου ἔκλειψιν προειπεῖν.
A : διὰ B : ἀμφὶ C : ἐπεὶ D : ἐπὶ

202. Θάνατον εἰσορῶ, ὃς ᾽Αλκηστιν εἰς ᾽Αιδου δόμον μέλλει ...
A : κατάγει B : κατάξειν C : καταγαγών D : κατῆχε

203. ῾Ο στρατηγὸς ὑπέσχετο χρήματα πρὸς τὰς ᾽Αθήνας ...
A : συνενήνοχα B : εἰσφέροιεν C : προσοίσειν D : ἐξενεγκεῖν

204. ᾽Ωδινεν ὄρος, εἶτα ... ἔτεκεν.
A : νῦν B : μῦν C : σῦν D : μὴν

205. ᾽Ωσπερ τὸ χρῶμα τὸν ὀφθαλμόν, ... ἡ φωνὴ τὸ οὖς εὐφραίνει.
A : ὥστε B : οὕτως C : ὅτε D : ἕως

206. ᾽Εν ἑκάστῳ ... τρεῖς ἦσαν ἄνδρες.
A : σκάφει B : ξίφει C : ὀλκάδι D : νηὶ

207. Οἱ κατάσκοποι ἀπήγγειλαν τοὺς πολεμίους ...
A : πεφευγέναι B : φεύγοντες C : φυγόντας D : φεύξοιντο

208. ... ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιστέον.
A : ῾Ημεῖς B : ῾Ημᾶς C : ῾Ημῶν D : ῾Ημῖν

209. Οἱ Σκύθαι οὐ λούονται ...
A : χεῖρας B : πούς C : ὕδατι D : ὁδούς

210. Οἱ ναῦται τῆς νεὼς ἐν κινδύνοις ... τοῖς Διοσκούροις εὔχονται.
A : ὄντας B : εἶεν C : οὔσης D : ὦσιν

211. ᾽Αγγέλλεται ... οἱ πολέμιοι πεφεύγασιν.
A : τῷ βασιλεῖ B : ὑπὸ κήρυκος C : ὅτι D : ταχέως

212. Τοὺς Σῆρας ἱστοροῦσιν ... τὰ τριακόσια ἔτη ζῆν.
A : εἰς B : ὅτι C : μέχρι D : ἐγγύς

213. Εἴδομεν τοὺς ἐναντίους εὐθὺς ... ἐπιθησομένους.
A : τὰ ὄρη B : τοὺς ὄρους C : ὑμῶν D : ἡμῖν

214. ... Λεωνίδας, ἀλλὰ καὶ πάντες οἱ μετ᾽ αὐτοῦ ἐν Θερμοπύλαις ἀπέθανον.
A : ῾Ο B : ῾Ο αὐτὸς C : Οὐ μόνον D : Καὶ ὁ

215. Αἱ ... τοῖς κέρασι παίουσιν.
A : κύνες B : λέοντες C : γαλαὶ D : αἶγες

216. Μὴ ἄκων, ἀλλ᾽ ... τὰ δίκαια πρᾶττε.
A : ἔχων B : οὔποτε C : ἑκὼν D : παρόντα

217. ... τῶν βουλευτῶν ἔδοξε τοὺς τῶν πρέσβεων λόγους μὴ δέξασθαι.
A : Τί B : Τοῖς πλείοσι C : ᾽Ενιοι D : Τινὲς

218. ... ἔχεις καλὸν σῶμα καὶ ψυχὴν κακήν, καλὴν ἔχεις ναῦν καὶ κυβερνήτην κακόν.
A : ῾Οπόταν B : ᾽Εὰν C : Κἂν D : Εἰ

219. ... θεοὶ φιλοῦσιν, ἀποθνῄσκει νέος.
A : Οἱ μὲν B : Οὐκ οἱ C : ῍Ον οἱ D : ῍Ην οὖν οἱ

220. ῾Ο κύων τοὺς λύκους ... ἀπερύκει.
A : τῇ οἰὶ B : τὰς οἷς C : τῶν οἰῶν D : οἰσίν

221. Εἰπέ μοι, ... οἱ ἐναντίοι ἐπιθήσονται ἡμῖν ἢ οὔ.
A : πόσοι B : ποῖοι C : πότερον D : πόθεν

222. Τῶν τριήρων ... κατέδυσαν αὐτοῖς ἀνδράσιν.
A : ἕνα B : μίαν C : τρία D : οἱ Φοίνικες

223. Οἱ πολέμιοι τὴν ἄμπελον ... περὶ τὸ ἱερὸν ἔκοψαν.
A : ἢ B : τὸν C : τὴν D : τὰ

224. ... ὄντος πᾶσι τοῖς ἐν ἡλικίᾳ οὖσι πρέπει στρατεύεσθαι.
A : Μάχης B : Ἐν τῷ πολέμῳ C : Λοιμοῦ D : Πολέμου

225. Οἱ αἰχμάλωτοι ἀπετμήθησαν ...
A : τὰς κεφαλάς B : ποσίν C : οὓς D : τῇ χειρί

226. Οἴκτιρε, ὦ Ζεῦ, τοὺς ἐν δεινοῖς ...
A : ἑαυτοῖς B : ἡμᾶς C : ὄντας D : εὐχόμεθα

227. Ὁ Πέρσης ... μένειν ἐν τῇ Εὐρώπῃ ἐπιθυμεῖ.
A : τῷ B : τε C : — D : πολλῷ

228. Ὁ στρατηγὸς ἦγαγεν στρατὸν ἀπὸ τῶν πόλεων, ... ἔπεισεν.
A : οἷς B : ὧν C : ταύτην D : ὃ

229. Κροῖσος, ὁ τῶν Λυδῶν βασιλεύς, ... δυνατὸς ἦν καὶ πλούσιος.
A : μάλα B : μέγαν C : ὃς D : ὁ

230. Ποῖ ᾖει ἐκεῖνος, ... διελέγου;
A : πρὸς οὗ B : σὺν οἷς C : ᾧ D : μεθ' ἧς

231. Ὁ ἀγαθὸς πολίτης ... προθύμως πείθεται.
A : ὑμῶν B : τοῖς νόμοις C : τοῦ βασιλέως D : ἐμὲ

232. Οὐκ ἀπεκρύπτετο, ... εἶχε γνώμην.
A : τί B : ἢ C : ἦν D : ὁπόταν

233. Οὐ γίγνεται ἄνευ πολλοῦ πόνου ἔργον ...
A : μέγα B : μέγαν C : πολύν D : μέλαν

234. Χαλεπὸν ἦν εὑρεῖν, ... εἶεν οἱ Μῆδοι.
A : πότε B : ὅ τι C : πόσοι D : ποῖ

235. Πρεσβευτὴς ἦλθε δέκατος ...
A : αὐτός B : αὑτός C : αὐτοί D : αὑτοί

236. Δεινὸν οἱ πολλοί, ὅταν κακούργους ... προστάτας.
A : ἔχοι B : ἔχουσιν C : ἔχωσι D : ἔσχον

237. Ἆρα οἶσθα, ... τοῦτο εἶπεν;
A : τις B : ὅστις C : ἐὰν D : αἳ

238. Οἱ ὄνυχες ἐν τοῖς ... ἄκροις εἰσίν.
A : δακτυλίοις B : χερσίν C : ποσίν D : δακτύλοις

239. Ἐδίδασκον ... τὴν τῶν Ἑλλήνων γλῶτταν.
A : παιδί B : τοὺς παῖδας C : τῶν παίδων D : παισίν

240. Κῦρος Ἀστυάγην, τὸν τῶν Μήδων ... ἔπαυσε τῆς ἀρχῆς.
A : βασιλέων B : βασιλέα C : βασιλεὺς D : βασιλεῖ

241. Οἱ πολέμιοι τοὺς πρέσβεις συλληφθέντας ...
A : ἀποθνήσκουσιν B : τεθνεώς C : ἀπέκτειναν D : ἀπέθανον

242. Βεβαίαν τὴν πίστιν ἔχω ἐκ τοῦ πολέμου τὴν εἰρήνην καλὴν καὶ μενετὴν ...
A : ἔσται B : εἶναι C : ἔσεσθαι D : ἔστω

243. Ταῦτα ... ὁ βασιλεὺς ἤγαγε ταχέως τὸν στρατὸν ἐπὶ τῶν Θηβῶν.
A : ἥκουσας B : ἄκων C : ἀκούσας D : ἀκούοντα

244. Οἱ ἀδολέσχαι ... συνεχῶς λαλεῖν τὸ ἡδὺ τῆς ὁμιλίας ἀποβάλλουσιν.
A : τὸ B : τοῦ C : τῷ D : —

245. Ἐὰν τοὺς κύνας φυλάττεσθαι ... , ἄρτον αὐτοῖς δίδου.
A : βουλὴν B : βούλῃ C : βουλῇ D : βούλει

246. Ὁ ναύαρχος ἀπέπεσεν ... τὴν θάλατταν καὶ ἀπέθανεν.
A : εἰς B : κατὰ C : ἀπὸ D : ἀνὰ

247. ... ἀποθανόντος τοῦ στρατηγοῦ οἱ στρατιῶται ἔφευγον.
A : Τοῦ B : Οἱ δὲ C : Καίπερ D : —

248. Δυνάμενος ... ὁ κατάκριτος ἐν τῇ πόλει ἔμενεν.
A : φεύγειν B : ἀποφυγεῖν C : καὶ ἑκόντος D : μάλα

249. Τῶν ἱππέων ἐς φυγὴν ... τὸ στράτευμα ἀνεχώρησε.
A : ἔτρεψε αὐτὰς καὶ B : τραπομένων C : τρέπων D : ἐτραπόμεθα καὶ

250. Οἱ θεοὶ μόνοι ... προορῶσιν.
A : τὸ μέλον B : τὰ ἐπιόντα C : ἡμᾶς D : τοῦ μέλλοντος

251. Ὁ γέρων ... γνώμῃ διαφέρει.
A : νεανίαν B : τοῦ νέου C : νεανίας D : τοῖς νεανίαις

252. Ὁ δὲ Κῦρος ... αὐτοῖς τὸν αὐτὸν μισθόν.
A : ἐδίδουν B : ἔδοσαν C : ἔδωκε D : ἐδόθη

253. Οἱ ποιηταὶ περὶ τῶν ἐν ... πολλὰ παράδοξα γεγράφασιν.
A : Ἅιδης B : Ἅιδην C : Ἅιδου D : Ἅιδῃ

254. Τοῖς ... ὁμόνοια πρέπει.
A : γείτοσιν B : πρόδοσιν C : μάθησιν D : ὑπόθεσιν

255. Μὴ συμβούλευε τῷ δήμῳ, ... βλαβερά ἐστι τῇ πατρίδι.
A : τὰ B : ἢ C : ἡ γὰρ D : ἅ

256. Οὐδεὶς ἐδόκει εἰδέναι, ... εἶμεν.
A : οὐδὲ B : τίς C : ὅτε D : ὅπου

257. Περὶ ... ποιοῦ δόξαν καλὴν ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν.
A : πολλοῦ B : πλείονος C : πλείστου D : οὐδενὸς

258. Οὐ ῥᾴδιόν ἐστιν εἰδέναι, ... ἄμεινόν ἐστι μάχεσθαι ἢ ἀποφεύγειν.
A : πότερος B : πότερον C : ὁπότερος D : πρότερον

259. Ῥᾳδίως συγγιγνώσκομεν τοῖς ... ἁμαρτάνουσιν.
A : εἰ μὴ B : ἄκουσιν C : ἀκούουσιν D : ἑκοῦσι

260. ... οὖν, ὥσπερ ἄξιος ἦν, κακὸς κακῶς ἀπέθανεν.
A : Οὕτως B : Καὶ C : Αὕτη D : Οὗτοι

261. Θαυμάζω τί οὐκέτι εὖνοί εἰσιν ...
A : ἡμᾶς B : αὐτῶν C : αἷς D : ἡμῖν

262. Ὑποπτεύω τὸν στρατηγὸν τέτταρα ἀσπίδια ἐχθὲς ...
A : κέκτησαι B : κτήσεσθαι C : κτήσασθαι D : κτηθῆναι

263. Οὗ φησι τὸν ... εὐθὺς ἀφίξεσθαι.
A : στράτευμα B : στρατιάν C : στρατὸν D : στρατόπεδον

264. Πῶς ᾖδει ἡμᾶς μενοῦντας ... εἶμεν;
A : που B : ποῖ C : πόθεν D : ὅπου

265. Ὁ τοὺς θεοὺς ἐπιορκήσας ... οὐ λήσει.
A : πολίταις B : τοῦ πολίτου C : τοὺς θεοὺς D : τῇ θεῷ

266. Οὕτως ἐκεῖνοι λέγουσιν, ... τῆς ἀρετῆς οὐ μέλει.
A : αἷς B : ὃς C : οἷς D : ὁ

267. Μᾶλλον ἡμῖν ... πιστεύωμεν ἢ τοῖς συμμάχοις.
A : ταύταις B : αὐτοὺς C : αὐτοῖς D : τίσιν

268. Τί ἂν εἴη ἀφρονέστερον ... τὰ φανερὰ διώκειν τἀφανῆ;
A : τοῦ B : ἢ ἀφέντα C : ὥσπερ καὶ D : ἢ ἀφιέναι

269. Ἐνόμιζον μὲν αὐτὸν ἀποθνήσκειν· ... δὲ ἀνέστη.
A : ἐξαίφνης B : νυν C : τεθνεὼς D : ἡγοῦμαι

270. Οὕτω τὰ τῶν Ἀθηναίων πράγματα ...
A : διέφθειρον B : ἐφάνθην C : ἐπύθετο D : ἐφθάρη

271. Τούτους δὲ ὁ στρατηγὸς ἰδὼν ἤρετο, τίνες πότ' εἰσι καὶ ... πορεύονται.
A : ὅποι B : ποτε C : οὐδαμοῦ D : πανταχοῦ

272. Τῶν κρειττόνων ἐστὶ καὶ τὰ ἑαυτῶν σῴζειν καὶ τὰ τῶν ... λαμβάνειν.
A : ἥσσων B : ἡττόνων C : νικησάντων D : παλαιτέρων

273. Ἤρετο, ... ἀπεδεξάμεθα τὰ χρήματα, ἃ ἔπεμψε.
A : ἡμεῖς δ' B : εἰ C : τί D : ἐὰν

274. Μὴ ... ἀλλήλοις, ἀλλὰ ὁμόνους ὑμᾶς αὐτοὺς παρέχετε.
A : μάχεσθαι B : διελέγεσθε C : ἐρίζετε D : ὁμιλεῖτε

275. Οὐδεμία ὄρνις ᾄδει, ὅταν ... ἢ ῥιγῷ.
A : πενθήσῃ B : πεινῇ C : κραυγῇ D : ἐπόθη

276. Φείδεσθε τῶν παίδων καὶ τῶν γυναικῶν· οὗτοι γὰρ ... εἰσι τοῦ πολέμου.
A : ἀναίτιοί B : μέτοχοι C : αἴτιοι D : αἰχμάλωτοι

277. Ὁ δὲ ἀφωρμήθη οὐκ εἰδὼς, ... πορεύεται.
A : πόσοι B : ὅποι C : ἄλλοτε D : πάντοσε

278. Ἡ νῆσος κατεστράφη, ... ἀπὸ τῶν Ἀθηναίων ἀπέστη.
A : ὅτι B : εἰ C : ὁπόταν D : ὅπως

279. Οἱ μῶροι μάλιστα ... αὐτοὺς στέργουσιν.
A : αὐτοὺς B : ἄλλους C : σφᾶς D : ἑαυτοῦ

280. Μὴ ... μένωμεν, ἀλλ' εὐθὺς ἀπίωμεν.
A : αὐτόθεν B : νυν C : οἴκαδε D : αὐτοῦ

281. Φανερόν ἐστιν, ὅτι ὁ πειρατὴς ἐξέβη ἐκ τῆς ... καὶ οὐκ εἰσέβη πάλιν.
A : ὁλκὰς B : τόλμης C : σκάφους D : νεὼς

282. Δημοσθένης ἐπωνυμίαν ... Μαργίτην ἐτίθετο.
A : Αἰσχίνην B : αὐτῆς C : Ἀλεξάνδρῳ D : ὄνομα

283. Οἱ Ἀθηναῖοι πολλάκις ἀπέδειξαν στρατηγοὺς τοὺς ... ἀπείρους ὄντας.
A : πολέμους B : στράτευμα C : τῶν πολεμικῶν D : ταῖς ναυσὶν

284. ... μέν σε χρὴ ὀρέγεσθαι, ἐκείνων δ' ἀπέχεσθαι.
A : Ἐκεῖνα B : Τοῦτο C : Ἅς D : Τούτων

285. Ὀλίγοι μὲν ἀπὸ πολλῶν ... , οἱ δὲ πλεῖστοι ἀπέθανον.
A : πέφευγεν B : ἐσώθησαν C : φυγοῦσαν D : ἐσφάγην

286. Ἀγαθὸν τοῦτό ἐστιν, ... τοῖς θεοῖς ἀρέσκει.
A : ὦ ἄνδρες, B : ὁ δὲ C : ταῖς τε γυναιξὶ καὶ D : ὃ

287. Αἰσχύλος ἔγραφεν ... τὰ ἑβδομήκοντα δράματα.
A : ἀμφὶ B : θᾶττον C : καὶ καταλιπεῖν D : κρύφα

288. ... τὰς ὑμετέρας οἰκίας ἦλθον.
A : Εἰς B : Ἐξ C : Εἷς D : Ἐξ

289. Οὐκ ᾔδη, ... εἴη ὁ κίνδυνος.
A : ὁπόσος B : εἴθε C : τι D : ἔτι

290. Ἦλθον ... βασιλέως πρέσβεις πολλὰ καὶ λαμπρὰ δῶρα φέροντες.
A : ὡς B : σὺν C : παρὰ D : οἱ ἀμφὶ

291. Οἱ κριταὶ κατέγνωσαν ... θάνατον.
A : συκοφάντας B : τῶν προδοτῶν C : ναυάρχοις D : τὸν κλέπτην

292. ... οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.
A : Πόλεμον B : Διὸς C : Ἄρης D : Ἔριδος

293. Τὸ πῦρ ... ἐπελάβετο, ἐπεὶ ὁ ἄνεμος ἔπνει μέγας.
A : οἰκίαις B : τὴν χώραν C : πάσας τὰς πόλεις D : ὅλης τῆς πόλεως

294. Οἱ Σπαρτιᾶται ... τοὺς παῖδας ψευδομένους.
A : κολάσοιεν B : ἐκόλαζον C : ἐκολάσθησαν D : κολάσασαν

295. Ὁ σοφὸς οὐδὲν ... ποιεῖ.
A : ἀκούων B : ἄκων C : ἔχον D : ἑκὼν

296. Κρεῖττον ἕνα φίλον ἔχειν πολλοῦ ἄξιον ὄντα ἢ πολλοὺς ... ἀξίους.
A : πλείονος B : πλείστου C : οὐδενὸς D : πολλοῦ

297. Ἔπειτα οἱ πρέσβεις ἤγγειλαν τῷ βασιλεῖ, ... ἥκουσιν.
A : ἐπεὶ B : διὰ τί C : ταῦτα D : ποτε

298. Οἱ δὲ ἀπεκρίναντο πρὸς τὴν Κολχίδα ... ζητοῦντες τὸν χρύσουν πόκον.
A : ἰέναι B : ἦσαν C : ἴεμεν D : ἰέναι

299. Ὁ ... πατήρ, Ἡρόδοτον λέγω, Ἁλικαρνασσεὺς γένος ἦν.
A : τῆς συγγραφῆς B : τῷ ἱστορεῖν C : τὰς ἱστορίας D : συγγραφέας

300. Καλὸν τὸ ἀποθνῄσκειν, ... ὕβριν τὸ ζῆν φέρει.
A : οἳ B : οἱ δὲ C : οἷς D : ποῖ

301. Ἐμοῦ μὲν ... παῖδες γίγνονται, σοῦ δὲ δύο.
A : πολλοὶ B : ἄριστοι C : οὐδένα D : τέτταρα

302. Χρήματα ἔλαβον παρὰ τῶν πλουσιωτάτων, ... Ἀσίαν οἰκούντων λέγω.
A : τοὺς B : τῶν C : οἳ τὴν D : ἔγωγε τούτους τὴν

303. Τὰ ἔργα, οἷς ἂν ἄκοντες ἐπιχειρήσωμεν, ... καλῶς προχωρεῖν φιλεῖ.
A : μήποτε B : οὐ C : οὗτοι D : μηδὲν

304. Χειμῶνος δὲ μεγάλου ἐπιγενομένου οὐκ ἐδύναντο ὁρᾶν, ... ἴοιεν.
A : τοὺς πολεμίους B : ὅποι C : οἱ δὲ D : βοηθήσοντες

305. Ὄνομα ... ἦν Νικίας.
A : ταὐτὰ B : ταύτῃ C : αὐτῷ D : ἐκεῖνον

306. Ὅρα ... ἐν τῷ κατόπτρῳ.
A : σαυτὸν B : ἑαυτὴν C : σεαυτῆς D : σὲ

307. Ἐρώτησον αὐτὸν, πότερον ἐλπίζει τὸν μισθὸν ... ἢ οὔ.
A : ἐνεγκεῖν B : πείσειν C : λήψεσθαι D : βῆναι

308. Τῇ δὲ ὑστεραίᾳ οἱ ... ἐξέπλευσαν.
A : ἥρωες B : πλοῖα C : νῆες D : παρθένοι

309. Παραιτοῦμαι ὑμᾶς μὴ ... κατακρίνειν.
A : τέκνα B : τοῖς κριταῖς C : τῶν ἀναιτίων D : ἐμὲ

310. Τῆς τῶν ναυτῶν σωτηρίας τοῖς Διοσκούροις ...
A : μέλει B : μέλλει C : δεῖ D : προσήκειν

311. Ἐάν τις τὸ θεῖον ὑγίειαν μόνον καὶ πλοῦτον ... , θνητὰ ἀγαθὰ αἰτεῖ.
A : αἰτίᾳ B : αἰτήσει C : αἰτήσῃ D : αἰτεῖ

312. Διογένης ἐρωτηθεὶς ποῖον οἶνον ἡδέως πίνει, ἔφη τὸν ...
A : γλυκύ B : ἀλλότριον C : πυρός D : ἡδύ

313. Ἐπειρώμεθα πείθειν ... ἐν τέλει φείδεσθαι τῶν αἰχμαλώτων.
A : — B : τῷ C : τῇ D : τοὺς

314. Τήμερόν ... χρὴ ἀποθνῄσκειν.
A : ἡμᾶς B : ὑμῖν, ὦ ἄνδρες C : ἐμοὶ D : σε

315. Τῇ δὲ ὑστεραίᾳ οἱ ὁπλῖται ὁδὸν ἐνενήκοντα ... ἐπορεύθησαν.
A : σταδίων B : στάδια C : σταδίους D : στάδιον

316. ... παντὶ λίθῳ σκόρπιος καθεύδει.
A : Ἀνὰ B : Ἐν C : Ὑπὸ D : Πρὸ

317. Ὁ ... ἄρχων ἀληθῶς βασιλικὸς ἀνήρ ἐστιν.
A : ἡμετέρων B : ὑμᾶς C : αὐτοῦ D : ἑαυτῶν

318. Ἆρ' ἐχρήσω τοῖς χρήμασι, ... ἐδέξω;
A : τὰ B : ἃς C : οὓς D : οἷς

319. Ἀποδότω τὸ ἀργύριον, ... ἔκλεψε.
A : ὁ B : τὸ C : τὰ D : ὃ

320. Ἡ Τροία ὑπὸ τῶν Ἀχαίων ...
A : διέφθαρκεν B : ἐπορθήθη C : διαφθείραιτο D : πορθούσῃ

321. ᾿Αρ᾽ οὐκ ἀκηκόατε, διὰ τί οἱ δικασταὶ ... κατέγνωσαν;
A : οἱ κακοὶ B : τοὺς προδότας C : ὦ βουλή, D : αὐτῶν

322. ῾Ο σοφὸς ἐν ... περιφέρει τὴν οὐσίαν.
A : ἑαυτοῦ B : σφίσιν αὐτοῖς C : σαυτῷ D : αὐτῷ

323. Οἱ πρέσβεις παρῃτοῦντο τοὺς ᾿Αθηναίους ... χώρας αὐτῶν φείδεσθαι.
A : τῶν B : τοὺς C : τῆς D : τὰς

324. Οἱ Μῆδοι τὴν πρὸς ... ὄρος φέρουσαν ὁδὸν ᾑρέσαν.
A : τὸ B : ὃ C : τὰ τοῦ D : τὴν τοῦ

325. Οὐδέν με ... ἀφεῖναι αὐτὴν.
A : πεύσεται B : πείσει C : πείσεται D : πεσεῖται

326. Γλυκὺς ... πόλεμος.
A : ἀπείρῳ B : μάχη καὶ C : ἐστι D : πικρῶς ὁ

327. Μὴ ἀπόλειπέ με, ὦ βέλτιστε, ἀλλὰ ... παρ᾽ ἐμοί.
A : μένε B : μενεῖ C : μένει D : μείναι

328. ... εἶπέ τις κακὸν εἶναι τὸ ζῆν, ὁ Διογένης, οὐ τὸ ζῆν, ἔφη, ἀλλὰ τὸ κακῶς ζῆν.
A : Τινὶ B : ῞Οταν C : ῾Ο αὐτὸς D : ῞Οτε

329. Οἰκτίρετε ... , ὦ θεοί.
A : με B : ἡμᾶς C : αὐτῶν D : ταύτῃ

330. Εἴθε μὴ γενοίμεθά ποτε ... τῶν πάλαι.
A : χείρους B : κακοὶ C : ἄριστοι D : χεῖρες

331. Οἱ ἄνθρωποι ἐν τῇ νεότητι καὶ ἐν τῷ γήρᾳ οὐχ ... εἰσιν.
A : ὅμοιον B : οἱ ἄνδρες C : αὐτοί D : ὁμονοοῦσι

332. Αἱ τρίχες ἔρρεον, ἃς ... ἔφυσε τὸ φάρμακον.
A : ἐὰν B : πότε C : πρὶν D : ἐπειδὰν

333. ῾Η τυραννὶς ... μήτηρ ἔφυ.
A : φιλίας B : τιμῆς C : ἀδικίας D : συνουσίας

334. Πρῶτον μὲν ... φρόντιζε, ἔπειτα δὲ τῶν ἄλλων.
A : σαυτὸν B : σεαυτοῦ C : ἑαυτῶν D : αὐτῷ

335. ᾿Αεὶ εὖ ... οἱ Διὸς κύβοι.
A : βάλλεται B : βαλεῖν C : πίπτουσιν D : ἔπεσεν

